πυρετὸς J. – Post δὲ addunt καὶ L, Lind. – δ' EH. – ἐπικαίεσθαι K. — [12] ἔχειν E. – οὐρήσει (οὐρήσῃ H, Ald.) (addunt εἰ EFGHIJKLθ, Lind.) οὐρέει (οὐρήσει θ; οὐρέοι H, Ald.) πουλὺ vulg. – Il est impossible de lire οὐρέειν quand il est question ensuite des dents et de leur agacement. Comparez en outre le passage parallèle, p. 24, l. 21. Je lis donc ἐμέειν. – πολλοὶ H. – πολὺ IJ. – σφύζει J. – αἵ ἐν θ, Mack. – αἵ ἐν om. vulg.

καὶ ἐμέει πουλὺ καὶ ῥηϊδίως, καὶ τοὺς ὀδόντας ναρκᾷ καὶ αἱμωδίη ἔχει, καὶ αἱ φλέβες αἴρονται καὶ σφύζουσιν αἱ ἐν τῇ κεφαλῇ, καὶ οὐκ ἀνέχεται ἠρεμέων, [1]ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. Τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥεῖ ὑπόπυος, καὶ ὑγιὴς γίνεται· [2]ἢν δὲ μὴ, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν ὡς τὰ πολλά. Αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρὸς, ἀκάθαρτος ἐὼν, ἢ σιτίων ἐμπιπλῆται, ἢ θωρήσσηται, ἢ ἐν ἡλίῳ κάμῃ. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν [3]ἀφιέναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος ὁπόθεν ἄν σοι δοκέῃ· ἐπὴν δὲ ἀφῇς, τὴν κεφαλὴν ξυρήσας, ψύγματά οἱ προσφέρειν, καὶ ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι· πίνειν δὲ διδόναι [4]τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν καὶ ἐπιπίνειν ὕδωρ· ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. Ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω [5]διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω· ἐπὴν δὲ γένηται εἰκοσταῖος πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν, πρὸς τὰς ῥῖνας φάρμακον προστίθει, καὶ διαλιπὼν ἡμέρας τρεῖς φάρμακον πῖσαι κάτω.

17. [6]Ἑτέρη νοῦσος· ἢν ὑπερεμήσαντα τὰ φλέβια τὰ [7]ἔναιμα τὰ περὶ τὸν ἐγκέφαλον θερμήνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ ὀδύνη ἐς τοὺς κροτάφους καὶ τὸ βρέγμα καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς, καὶ τὰ ὦτα [8]ἠχέει, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδὲν, καὶ ἀλύει, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης· οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑκταῖος. Ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν· ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων [9]ἢ τῶν ῥινῶν ὕδωρ, οὕτως ἐκφυγγάνει τὸν ὄλεθρον· ἢν δ' ἐκφύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾷν ὥσπερ τὴν προτέρην.

[1] Ἀλλὰ EH. – ἀλλὰ λύει GJ. – ὕδροψ IK. — [2] εἰ Iθ, Mack. – πουλλὰ Lind. – λειπυρίης E, Lind. – ἀπαλλαγῇ EHθ, Ald. – ἀπαλαγεὶς J. – ἐμπίπληται (sic) θ. – ἐμπλησθήσεται vulg. – θωρήξεται vulg. – θωρήσσηται (H, al. manu θωρήξηται) θ. – θωρίξηται E, Lind. – θορίξηται IK. – θορίξεται J. — [3] ἀφιέναι θ. – ἀφεῖναι vulg. – δοκέει J. — [4] τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ, ῥομφάνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν pro τὸν.... ὕδωρ θ. – πτισσ. E. – μεταβάλλων G. — [5] διαφορητικοῖσι FG (H, al. manu) JKL. – πεπαυμένος HJK. – πίσαι vulg. — [6] ἑτέρα E. – ἄλλη J. — [7] ἔναιμα EHP'Q'θ, Lind., Mack. – αἵματα vulg. – θερμ. τὸν ἐγκ. om. J. — [8] ἠχέει EGHIJK, Ald., Frob., Mack. – ἠχέῃ vulg. – ῥυπτάζει G. – ῥυπάζει J. — [9] ἢ διὰ τῶν EH. – οὗτος (οὗτος om. FGIJK) vulg. – οὕτως Hθ, Mack. – τὸν ὄλ. om. EH. – δὲ φύγῃ vulg. – δ' ἐκφύγῃ

pesanteur à la tête; si on le remue, il vomira, et il vomit avec facilité des matières abondantes, qui causent aux dents de la stupeur et de l'agacement; les veines de la tête se soulèvent et battent; il ne peut garder le repos, mais il a de la jactitation et du délire par la force de la douleur. En ce cas, s'il se fait une éruption par les narines ou par les oreilles, c'est une eau sub-purulente qui s'écoule, et le malade guérit. Sinon, il meurt en sept jours d'ordinaire. Cette maladie survient surtout à la suite de la fièvre lipyrie, quand, délivré de la fièvre, ayant le corps plein d'impuretés, il fait excès, soit d'aliments, soit de boisson, ou travaille au soleil. Les choses étant ainsi, d'abord vous tirerez du sang de la tête dans le point que vous jugerez convenable; après cette émission, rasez la tête, faites des applications réfrigérantes, et, si le ventre n'est pas libre, administrez un lavement; donnez à boire de la décoction d'orge froide et de l'eau par dessus. Si les applications réfrigérantes ne soulagent pas, changez de plan, employez l'outre et échauffez. Quand la douleur est calmée, le malade usera d'aliments relâchants, ayant soin de ne pas se gorger. Quand il arrive au vingtième jour, la douleur ayant cessé, il prendra un bain de vapeur à la tête, un errhin dans les narines, et, après un intervalle de trois jours, un évacuant par le bas.

17. (*Voyez le* § 4.) Autre maladie : si les veines sanguines de l'encéphale, ayant revomi, échauffent cette partie, il survient une fièvre intense, de la douleur aux tempes, au bregma, et à l'occiput; les oreilles tintent et se remplissent de vent; le malade n'entend rien, il s'agite et est en proie à la jactitation par la force de la douleur. Il succombe le cinquième ou sixième jour. Les choses étant ainsi, on lui échauffera la tête; car si de l'eau fait éruption par les oreilles ou par les narines, il échappe ainsi à la mort. S'il passe les six jours, on le traitera comme dans le cas précédent.

EHQ'θ, Lind., Mack. – διαιτᾷν αὐτὸν (αὐτὸν om., H restit. al. manu, θ) vulg.

18. [1]Ἑτέρη νοῦσος· ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐν τῇ κεφαλῇ, ὀδύνη ἔχει [2]βραχέη τὴν κεφαλὴν πᾶσαν καὶ ἐς τὸν τράχηλον, καὶ μεταβάλλει ἄλλοτε ἄλλῃ τῆς κεφαλῆς, καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει, πυρετὸς δὲ οὐ λαμβάνει. Ὅταν [3]οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν, ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούῃ, σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ· ἐπὴν δὲ τάμῃς, διαστείλας τὸ δέρμα, ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι [4]διαπάσαι· ἐπὴν δέ σοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομὴν, κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν αὐτήν· ἔπειτα περιχρίσας τῇ [5]κηροπίσσῳ σπληνίσκον, ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει, εἴριον πινόεν [6]ἐπιτιθεὶς, καταδῆσαι, καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ· ἢν δὲ ἔχῃ, ἀπολύσασθαι. Διδόναι [7]δὲ, ἔστ' ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου, ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ἐπιπίνειν ὕδωρ.

19. [8]Ἑτέρη νοῦσος· ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς καὶ ῥῖγος καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης, μάλιστα δὲ ἐς τοὺς κροτάφους καὶ [9]ἐς τὸ βρέγμα καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν, καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι, καὶ ἐς τὰ ὦτα ὀδύνη ἐσφοιτᾷ ἐνίοτε, καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ, καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι· καὶ τοῖσι μὲν πλείστοισιν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς [10]ἡ ὀδύνη ἐσφοιτᾷ, γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. Ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλὴν, καὶ ἐπὴν [11]ἥ τε ὀδύνη καὶ τὸ ῥεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν, καὶ [12]ἀλουτεέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ῥοφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων, καὶ πινέτω ὕδωρ· ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας [13]ἐσθιέτω

[1] Ἄλλη E. – ἑ. ν. om. FGHIJθ. – ἐν τῇ κεφαλῇ EHQ'θ. – ἐς τὴν κεφαλὴν vulg. — [2] βαρείη Lind., Mack. – ἄλλῃ EHIJKLθ, Lind., Mack. – ἄλλα vulg. – δ' EH. — [3] οὖν om. HIJKθ. – οὕτως om. FG. – ἕξῃ θ. – ξ. αὐτοῦ τὴν κεφ. θ. – ὑπακούει vulg. – ὑπακούῃ HI. — [4] διαπάσσαι GIK. – διαπᾶσαι H. – τοι pro σοι Lind. – κρόκη signifie un *fil*, d'après Foes; la chose me paraît douteuse. – διπλὴ H. – κατέλιξε θ. – τὴν τομὴν pro αὐτὴν E (H, sine τὴν) θ, Mack. – αὐτὴν τὴν τομὴν Q', Lind. — [5] κηροπίσῳ E. — [6] ἐπιθεὶς καὶ ἀναδῆσαι καὶ μὴ ἐπιλῦσαι ἐπ' ἑπτὰ θ. – ἄχρις om., restit. al. manu H. – ἡμερέων EHIJKLθ, Lind., Mack. – ἡμερῶν vulg. – δ' EH. — [7] δὲ om., restit. al. manu H. – κρήμνου GHJK, Ald. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. — [8] ἑτέρα E. – ἑ. ν. om. θ. – ἐς om. θ. — [9] εἰς J. – φοιτᾷ θ. – καὶ (καὶ om. EH, Mack) ἐνίοτε vulg. – ἀμβλυώσουσι E. – ἀμβλυώσσει θ. – Ante ὀφθ. addit οἱ Ald. — [10] ἡ om., restit. al. manu H. – φοῖτα EHQ', Lind. — [11] ἥ τε om. EH. – τε om. θ. – ῥεῦμα EHθ, Lind., Mack. – πνεῦμα vulg. – ἐπιστάζειν FGJ. — [12] ἀλου-

18. (*Voyez le* § 4. *Incision du cuir chevelu.*) Autre maladie : si les veines de la tête revomissent, une douleur légère occupe la tête entière et s'étend jusqu'au cou ; elle se porte tantôt sur un point de la tête, tantôt sur un autre. Quand le patient se lève, il est pris de vertige, mais il n'a pas de fièvre. Les choses étant ainsi, on lui rase la tête, si les applications chaudes ne réussissent pas ; on lui incise le front à partir du point où cessent les cheveux ; l'incision faite, on écarte la peau, et, après l'écoulement du sang, on saupoudre avec du sel fin. Le sang ayant cessé de couler, on rapproche l'incision, et on l'entoure tout entière avec un fil double ; puis on applique sur la plaie une compresse enduite d'un mélange de cire et de poix ; on pose pardessus de la laine grasse, et on met un bandage qu'on n'ôte qu'au bout de sept jours, à moins qu'il y ait douleur ; en ce cas, on l'enlève. On donnera à boire, jusqu'à guérison, l'eau de farine d'orge, pour potage la décoction d'orge, et, par dessus, de l'eau.

19. (*Affection cérébrale indéterminée.*) Autre maladie : quand le cerveau est en proie à la bile, il y a une fièvre sourde, du frisson et de la douleur dans la tête entière, mais surtout aux tempes, au bregma et à la région des yeux ; les sourcils semblent peser ; la douleur gagne parfois les oreilles ; de la bile s'écoule par les narines, la vue devient obtuse. Chez la plupart, la douleur occupe la moitié de la tête ; mais elle se fait sentir aussi dans la tête entière. Les choses étant ainsi, on fera des applications réfrigérantes à la tête ; quand la douleur et le flux cessent, on injecte dans les narines du jus de persil. Le patient ne prendra pas de bains tant que la douleur persiste ; pour potage il aura du panic léger, en y mêlant un peu de miel, et il boira de l'eau. Si le ventre n'est pas libre, il mangera du chou, et, pour potage, la décoction d'orge ; sinon, des feuilles de sureau apprêtées de la même manière. Quand on jugera le

τεέτω EHP'Q'θ, Lind. – μὴ λουέτω vulg. – ὡς, al. manu ἕως H. – ῥυμφανέτω EGHIJK, Ald. — [13] τρωγέτω EHθ, Lind., Mack. – ῥυμφανέτω EHIJK, Ald.

καὶ τὸν χυλὸν ῥοφανέτω· [1]ἢν δὲ μὴ, τῆς ἀκτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον, καὶ ἐπήν σοι δοκέῃ καιρὸς εἶναι, σιτία προσφέρειν οἵ ὡς ὑποχωρητικώτατα· καὶ ἢν, ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης, ὑπὲρ τῆς [2]ὀφρύος αὐτῷ βάρος ἐγγένηται ἢ μύξα παχέη καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει καὶ ὕδατι καὶ ὀριγάνῳ, ἔπειτα [3]λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. Ταῦτα ποιήσας, ὡς τὰ [4]πολλὰ ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος οὐ θανατώδης.

20. [5]Ἑτέρη νοῦσος· ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη λάζεται ἐκ τῆς [6]κοτίδος ἐς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος, καὶ ἱδρὼς ἐξαπίνης, καὶ ἄπνοος τελέθει, καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ· πολλοὶ δὲ καὶ ἐμέουσιν. Οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ, οὐχ [7]ὑπερφεύγουσι δὲ οἱ πολλοὶ, [8]ἢν οὖν τὸ αἷμα ἐμέῃ ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν, πίνειν δὲ διδόναι ὄξος λευκὸν ὑδαρὲς κιρνὰς, καὶ ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. Ἢν δὲ πλεῖόν σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα ἢ ἐκ τῶν ῥινῶν οἱ [9]ῥέῃ, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω ἄλητον σιτάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων· ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, [10]καὶ ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνα ὑποτιθείς. Ἢν δὲ τούτων [11]οἱ μηδ' ἕτερον ἔῃ, ἀλγέῃ δὲ τὴν κοτίδα καὶ τὸν τράχηλον καὶ τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν [12]ἐν τοῖσιν ὀρόβοισι τὰ στέρνα καὶ τὸ νῶτον καὶ τὴν κοτίδα καὶ τὸν τράχηλον. Ταῦτα ποιέων μάλιστα ἂν ὠφελέοις· ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦσον ὀλίγοι.

[1] Εἰ EH. – αὐτῆς vulg. – ἀκτῆς EFGHIJKLQ'θ, Vaticana exempl. ap. Foes, Lind., Mack. – σιτία οἱ πρ. EHθ. — [2] ὀσφύος EFGHJK. – βάρος τι (τι om. EH) γένηται (γένηταί τι J), (ἐγγένηται EHQ', Lind.) (addit καὶ Mack) κατὰ τὸν μυξωτῆρα, ἢν μύξα παχείη ἦ (ἢ HIK, Ald.) καὶ σαπρὴ vulg. – βάρος ἐγγίνηται ἢ μύξα παχέη καὶ σαπρὴ θ. — [3] θερμῷ λούσας EH. — [4] πουλλὰ G, Frob. – ὑγιῆ δείξῃς (δείξεις IJK) vulg. – ὑγιὴς γίνεται EHQ'θ, Lind., Mack. — [5] ἑ. ν. om. H. – ἑτέρα E. – λέγεται μὲν σφακελισμὸς καὶ ὁ διασπασμὸς τοῦ σώματος ἢ σῆψις αὐτοῦ ἢ παραπληξία ἢ σῆψις τοῦ μυελοῦ· γίνονται δὲ ἐκ τοῦ σφακελισμοῦ καὶ σπασμοὶ G. – ἂν E. – ἢν δὲ (H, δὲ al. manu) Q', Lind., Mack. — [6] κοτίδος, τῆς κεφαλῆς ἡ κορυφὴ in marg. E. – εἰς JK. – ἐξαπίνης καινὸς (καίριος Lind.) τελέθει (τελέθῃ H) vulg. – ἐξαπίνης καὶ ἄπνοος τελέθῃ θ. – ῥέει Lind. — [7] ὑπεκφεύγουσι θ. – οἱ om., restit. al. manu H. – Post πολλοὶ addit οὗτοι Q'. — [8] οὗτος ἢν μὲν τὸ EHP'θ, Lind. – Ante οὖν addit μὲν Q'. – πίνειν δὲ διδόναι ὄξος λευκὸν ὑδαρέα κιρνῶν vulg. – πίνειν δὲ ὄξος λευκὸν ὑδαρὲς κιρνὰς θ, (Mack, cum διδόναι). – διδόναι a sans doute été omis par

temps venu, il prendra les aliments les plus relâchants. Si, le flux et la douleur ayant cessé, il éprouve de la pesanteur au-dessus du sourcil ou qu'il se forme une mucosité épaisse et corrompue, faites-lui prendre un bain de vapeur avec le vinaigre, l'eau et l'origan; puis, l'ayant lavé à l'eau chaude, appliquez aux narines la fleur de cuivre et la myrrhe. Par ces moyens, il guérit la plupart du temps; la maladie n'est pas mortelle.

20. (*Répétition du § 5; ici le traitement est exposé; remarquez aussi, parmi les symptômes, la différence entre* suffocation *et* insomnie.) Autre maladie: quand le cerveau est pris de sphacèle, une douleur s'étend de la nuque au rachis; du froid gagne le cœur; le malade sue soudainement, il est pris de suffocation, et du sang s'écoule par les narines; plusieurs même ont des vomissements de sang. Le patient succombe en trois jours. S'il passe les sept jours, c'est bon signe; mais la plupart ne les passent pas. S'il rend du sang par le vomissement ou par les narines, on ne le lavera pas à l'eau chaude, on ne fera pas d'applications chaudes, mais on lui fera boire du vinaigre blanc étendu d'eau; s'il est faible, pour potage, l'orge en décoction. Si vous jugez que trop de sang s'échappe par le vomissement ou par les narines, il prendra, s'il s'agit de vomissement, de l'eau saupoudrée de farine de blé de trois mois; s'il s'agit d'épistaxis, on comprimera en outre les veines des bras et des tempes en mettant des compresses par dessous les ligatures. S'il ne survient ni vomissement ni épistaxis, mais s'il souffre à la nuque, au cou et au rachis et que le froid aille au cœur, on échauffera avec des sachets pleins d'ers la poitrine, le dos, la nuque et le cou. C'est surtout par ces moyens que vous serez utile; mais peu réchappent.

Mack en rapportant la leçon de θ. – κἢν θ. – πτισσ. E. – ῥυμφάνειν EHIJK, Ald. – πλείονος vulg. – πλέονος E. – πλεῖον Lind., Mack. — [9] ῥέειν L, Lind. – ἀπὸ μὲν om., restit. al. manu H. – σητάνιον EH. – δ' EH. — [10] καὶ om. Lind., Mack. – τοῖς H. — [11] οἷσι FG. – ἀλγέει vulg. – ἀλγέῃ IJ, Lind. — [12] ἐν om. θ, Mack. – τὸν ὦτον (sic) θ. – τὸν νῶτον (νότον G) vulg. – κωτίδα J. – μάλιστ' EH. – ὠφελέοι vulg. – ὠφελέοις θ. – τὴν τ. ν. om. (H, restit. al. manu) θ.

21. [1] Ἑτέρη νοῦσος· ἐξαπίνης ὑγιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ῥέγχει, καὶ τὸ στόμα κέχηνε, καὶ ἤν τις αὐτὸν καλέσῃ ἢ κινήσῃ, στενάζει μοῦνον, [2] ξυνίει δὲ οὐδὲν, καὶ οὐρέει πουλὺ, καὶ οὐκ ἐπαΐει οὐρέων. Οὗτος, ἢν [3] μιν μὴ πυρετὸς λάβῃ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει· ἢν [4] δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος πρεσβυτέροισι μᾶλλον γίνεται ἢ νεωτέροισιν. Τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ [5] καὶ θερμῷ, καὶ θάλπειν ὡς μάλιστα, καὶ ἐνστάζειν μελίκρητον χλιαρὸν ἐς τὸ στόμα. Ἢν [6] δὲ ἔμφρων γένηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σιτίοισιν, ἐπήν σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κατωτερικὸν δὸς [7] φάρμακον πιεῖν· ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι· ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης.

22. [8] Ἑτέρη νοῦσος· ἢν δὲ ἐκ θωρήξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίνεται· ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. Ἢν δὲ [9] μὴ οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ καὶ θερμῷ, καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ προστιθέναι, καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. Οὗτος ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ [10] φλυηρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων, τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται· ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ, μαίνεται, καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ. Τοῦτον οὖν [11] χρὴ τάδε ποιέειν· λούειν πολλῷ καὶ θερμῷ, ἔστ' ἂν αὐτὸς ἐς ἑωυτὸν παρῇ· ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ, κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπιβάλλειν ἱμάτια, καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι· ὡς γὰρ ἐπιτοπολὺ ἐκ

[1] Ἄλλη EHIJ. – καλέσῃ K. – καλέῃ vulg. – μ. om., al. manu μόνον H. – μόνον IK. — [2] ξ. EHθ, Lind. – σ. vulg. – συνήει K. – δ' Hθ. – πουλὺ Kθ, Lind., Mack. – πολὺ vulg. – ἐπαΐει Eθ, Lind., Mack. – ἐπάγει vulg. – ἐπανάγει K. — [3] μιν θ. – μιν om. vulg. – μὲν pro μὴ FG. – μὶν pro μὴ J. — [4] Post δὲ addunt μὴ FG, Ald. – ἡ δὲ τοιαύτη (τοι. om. EHθ) νοῦσος vulg. – μᾶλλον HJθ. – μάλιστα vulg. — [5] καὶ om. Kθ. – χλιαίνων vulg. – χλιαρὸν Lθ, Lind., Mack. – εἰς J. — [6] δ' EH. – ἐκφεύγῃ Hθ. – φύγῃ F. – ἐπὰν vulg. – ἐπὴν HIJKL, Lind. – διαλείπων EHIJK. – διαλίπων (sic) Ald., Frob. – δὸς om., restit. al. manu H. — [7] φάρ. θ, Mack. – φάρ. om. vulg. – καθαρίσῃς E. – δεῖμα μὴ αὖθις FGJK. – κίνδυνος pro δ. EH. – αὖτις E (H, al. manu) θ. — [8] ἑ. ν. om. θ. – ἑτέρα E. – ἂν E. – δ' E. – θωρίξιος J, Lind., Mack. – θορίξιος EIK. – δὴ om. EHθ. — [9] μὲν pro μὴ legit Foes ex Aph. v, 5. – οὖν pro μὴ L, Lind. – κρόμυα GHIJK,

21. (*Coup de sang ou apoplexie; répétition du* § 6.) Autre maladie : le sujet en santé est pris d'une céphalalgie soudaine; il perd aussitôt la parole, il râle, la bouche est entr'ouverte; si on l'appelle ou le bouge, il ne fait que gémir, mais ne comprend rien; il urine beaucoup, et urine sans s'en apercevoir. Si la fièvre ne survient pas, il succombe dans les sept jours (Aph. VI, 51); si elle survient, il guérit d'ordinaire. Les personnes d'un certain âge sont plus sujettes à cette affection que les jeunes. Les choses étant ainsi, il faut laver le patient avec beaucoup d'eau chaude, l'échauffer autant que possible, et instiller du mélicrat tiède dans la bouche; s'il reprend sa connaissance et échappe à la maladie, vous le restaurerez par l'alimentation; quand il vous paraîtra fortifié, vous introduirez un errhin dans les narines; après un intervalle de quelques jours, vous administrerez un médicament qui purge par le bas; en effet, si vous ne purgez pas, il est à craindre que la maladie ne récidive. Mais peu échappent à la première attaque.

22. (*Affection cérébrale aiguë, suite d'un excès de boisson.*) Autre maladie : quand un individu, après un excès de boisson, perd la parole, si la fièvre le saisit aussitôt, il guérit; sinon, il succombe au bout de trois jours (Aph. V, 5). Si vous êtes appelé auprès d'un malade qui n'est pas ainsi, vous le laverez avec beaucoup d'eau chaude; vous appliquerez sur la tête des éponges trempées dans l'eau chaude, et vous introduirez dans les narines des poireaux pelés. Si, ouvrant les yeux et parlant, il reprend sa connaissance et ne délire pas, il reste ce jour-là dans la somnolence, et le lendemain il entre en guérison; mais si, se levant, il vomit de la bile, le transport le saisit, et il succombe en cinq jours au plus, à moins qu'il ne s'endorme. Voici ce qu'il faut faire : on le lavera avec beaucoup d'eau chaude jusqu'à ce qu'il revienne à lui; puis, l'ayant oint avec beaucoup d'huile, on le couche sur un lit mollet, on jette sur

Ald. – ἀπολέπτων (sic) J. — [10] φλυηρῆ θ, Mack. – φλυαρῆ vulg. – μὲν om. restit. al. manu E. – κωμήνων I. – δὲ IJK. – ὑστερέη H. – κοιμηθῆ E. — [11] χρὴ om. FGK. – καὶ om. θ. – ἐς om. EH. – ἔπειτ' IJK.

τοῦ λουτροῦ κατακοιμᾶται, καὶ ἢν [1]κοιμηθῇ, ὑγιὴς γίνεται. Ἐπὴν δὲ παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας [2]τῶν σιτίων ἐρύκειν αὐτὸν, ἡμέρας τρεῖς ἢ τέσσαρας, διδόναι δὲ κέγχρον λεπτὸν ῥοφάνειν ἢ πτισάνης χυλὸν, καὶ οἶνον μελιτοειδέα πίνειν· ἔπειτα σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ὀλίγοισι τὸ πρῶτον.

23. [3]Σφάκελος ἐγκεφάλου· ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς κατὰ σμικρὸν, καὶ ἀνοιδέει, καὶ πελιδνὸν γίνεται, καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. Ὅταν οὕτως ἔχῃ, [4]ταμόντα χρὴ, ἵν' ἐξοιδέει, καὶ διακαθήραντα τὸ ὀστέον, ξύσαι [5]ἕως ἂν ἀφίκηται πρὸς τὴν διπλοΐδα· εἶτα ἰῆσθαι ὡς κάτηγμα.

24. [6]Τερηδών· ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τοῦ ὀστέου· [7]τῷ δὲ χρόνῳ λεπτὸν γίνεται, καὶ ἀναφυσᾶται, καὶ γίνεται ἐν αὐτῷ κάτηγμα, καὶ ἢν οὕτω ἀνατάμῃς, εὑρήσεις ἄναιμον ὀστέον [8]καὶ τρηχὺ καὶ πυῤῥὸν, ἐνίοισι δὲ [9]καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. Ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ἔῃ πέρην διαβεβρωμένον, αἱρεῖν ἄριστον, καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος· ἢν δὲ [10]τετρωμένον μὲν μὴ ἔῃ, τρηχὺ δὲ, ξύσας μέχρι τῆς διπλοΐδος, ἰῆσθαι ὥσπερ τὴν πρόσθεν.

25. [11]Ἑτέρη νοῦσος· ἢν βλητὸς γένηται, ἀλγέει τὸ πρόσθεν τῆς κεφαλῆς, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρᾷν, ἀλλὰ κῶμά μιν [12]ἔχει, καὶ αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζουσι, καὶ πυρετὸς βλη-

[1] Τοῦτο ποιήσῃ (EH, al. manu κοιμηθῇ) Lθ. – ἢν, al. manu ἐπὴν E. – ἑωυτοῦ, al. manu ὃν H. – ἑωυτῷ θ. — [2] τῶν σ. ἐρ. α. ἡμέρας θ. – τῶν σ. ἐρ. α. ἡμέρας om. vulg. – τέσσαρας EHθ, Mack. – τέτταρας vulg. – δὲ (H, obliter. al. manu) θ. – δὲ om. vulg. – ῥυμφάνειν EGHIJK. – πτισσ. E. – μελιτοηδέα EHK. – μελιηδέα θ. – μαλθακοῖσι vulg. – μαλθακωτάτοισι Hθ, Mack. – τὸ πρῶτον om. FGJ. — [3] ἑτέρη νοῦσος· σφακελισμὸς ἐγκεφάλου in tit. K. – ἑτέρη νοῦσος· ἐὰν σφακελίσῃ ὁ ἐγκέφαλος in tit. FGIJ. – ἢ pro ἡ J. – ἐκ τοῦ (ἐκ τοῦ om. EH, Ald.) κατὰ μικρὸν (σμικρὸν Hθ) vulg. – λαμβάνει (H, al. manu κατα) θ, Mack. – καταλαμβάνῃ J. — [4] ταμόντα (H, al. manu ταμεῖν) θ. – ταμεῖν vulg. – ἢν pro ἵν' EHθ. – ᾗ ἂν pro ἵν' Lind., Mack. – ἐξοιδέῃ vulg. – ἐξοιδέει IKL. – καὶ om. E. — [5] ἔστ' ἂν EHθ. – ἀπίκηται, al. manu φ H. – πρὸς EHQ'θ, Lind., Mack. – εἰς (ἐς K) vulg. – ἔπειτα EHQ', Lind., Mack. — [6] τερ. om. J. – περὶ τερηδόνος· ὅπερ λέγεται σκώληξ ὁ ξυλοτρώκτης ὁ ἐν τῷ ξύλῳ οἰκῶν GHK. – ἑτέρα νοῦσος pro τερηδὼν E. – ἐὰν pro ὅταν J. – τοῦ ὀστέου EHIJKL, Lind. – τὸ ὀστέον vulg. — [7] τῷ Lθ. – τὸ vulg. – Ante λεπτὸν addit τὸ δέρμα θ. – ἐπ' (ἐν EHθ) αὐτῷ vulg. – τοῦτο (οὕτω pro τοῦτο EH) ἀνατάμῃς vulg. – εὑρήσῃς G, Lind. – ἀνατεῖνον vulg. – Au lieu de ἀνατεῖνον, qui ne donne aucun sens, je lis ἄναιμον; voyez ἔξαιμον, Des Plaies de tête, § 16.

lui des couvertures, et on se garde d'allumer une lampe ou de parler près de lui; car d'ordinaire il s'endort en sortant du bain, et, s'il dort, il est guéri. Quand il a sa connaissance, on lui interdit de manger pendant les trois ou quatre premiers jours, mais on lui fait prendre en potage du panic léger ou de la décoction d'orge, et boire du vin mielleux. Puis il usera d'aliments très-émollients et en petite quantité.

23. (*Affection des os du crâne. Voyez sur ce sphacèle,* t. V, p. 581. *Comparez aussi* Ep. VII, 35.) Sphacèle du cerveau: quand le sphacèle prend, la douleur vient peu à peu occuper surtout le devant de la tête; il se manifeste du gonflement et de la lividité; la fièvre et le frisson s'emparent du malade. Les choses étant ainsi, il faut inciser là où il y a gonflement, nettoyer l'os et le ruginer jusqu'au diploé; puis on traite comme une fracture.

24. (*Carie du crâne; répétition du* § 7.) Carie: quand la carie est dans un os, la douleur a là son point de départ; avec le temps, l'os s'amincit, de l'air s'y développe, et il se fracture. Si vous incisez en cet état, vous trouvez l'os exsangue, raboteux et d'un jaune rouge; parfois il est corrodé jusqu'au cerveau. Quand vous êtes appelé en ce cas, si l'os est corrodé de part en part, le mieux est de l'ôter et de guérir la plaie aussitôt que possible; s'il n'est pas perforé, mais qu'il soit raboteux, on rugine jusqu'au diploé, et on traite comme dans le cas précédent.

25. (*Apoplexie ou ramollissement du cerveau. Répétition du* § 8. *Incision du cuir chevelu.*) Autre maladie: si le malade est sidéré, il souffre dans le devant de la tête, il ne peut voir. La somnolence le tient, les veines des tempes battent, et il y a une fièvre sourde,

— [8] καὶ om. K. — [9] καὶ om. θ. – τὸν om. H. – αἰρεῖν (sic) (ἐᾷν vulg.) θ, Mack. — [10] τρωμένον (sic) J. – βεβρωμένον K'. – μὴ om. K. – ξύσας τὴν διπλοΐδα θ. – ξύσας ἐς τὴν διπλοΐδα (H, al. manu μέχρι τῆς διπλοΐδος) P'Q'. – ξύσας μέχρι τῆς διπλοΐδος ἐς τὴν διπλοΐδα E. – Cette leçon de E est la réunion des deux leçons. – ἰᾶσθαι E. — [11] ἐ. ν. om. Hθ. – ἄλλη E. – Post ν. addit βλητὸς J. – καὶ (καὶ om. FGJ) ἀλγέει (ἀλγέῃ EH, Mack) vulg. – μὴ pro οὐ EH. – δύνηται vulg. – δύναται L, Lind. — [12] ἔχῃ K, Mack. – καὶ ἦν (ἦν om., H restit. al. manu, θ, Mack) (addit καὶ I) αἱ φλέβες vulg. – σφύζωσι vulg.

χρὸς [1] ἔχει, καὶ τοῦ σώματος παντὸς ἀκρησίη καὶ μινύθη. Ὅταν οὕτως ἔχῃ, [2] καίειν αὐτὸν θερμῷ πολλῷ, καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι· ἐκ δὲ τῆς πυρίης ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ· ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ. Καὶ ἢν μὲν ταῦτα ποιέοντι [3] ῥάων γένηται· εἰ δὲ μὴ, ταύτῃ γὰρ μόνῃ ἐλπὶς, σχίσαι αὐτοῦ τὸ βρέγμα, καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, συνθεὶς τὰ χείλεα, ἰῆσθαι καὶ καταδῆσαι· [4] ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά.

26. [5] Κυνάγχη· πυρετὸς λαμβάνει καὶ ῥῖγος καὶ ὀδύνη τὴν κεφαλὴν, καὶ τὰ σιαγόνια οἰδίσκεται, καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει, [6] ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ καὶ κατ' ὀλίγον, καὶ ἐν τῇ φάρυγγι κάτω ῥέγχει· καὶ ἢν καταλαβὼν τὴν γλῶσσαν [7] σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός· ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ οὐ δύναται ἐκχρέμπτεσθαι, καὶ οὐκ ἀνέχεται κείμενος, ἀλλ' ἢν κατακέηται, πνίγεται. Τοῦτον [8] ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε· πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ τὸν [9] πρῶτον ἐπὶ τὰ καὶ ἐπὶ τὰ, παραξυρήσας ἐν τῇ κεφαλῇ παρὰ τὸ οὖς ἔνθεν καὶ ἔνθεν, [10] καὶ ἐπὴν ἀποσφίγξῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον· ἔπειτα πυριᾷν αὐτὸν ὄξει καὶ λίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδατι, καὶ ἄλειφα ὀλίγον ἐπι-

[1] Ἔχῃ vulg. – ἔῃ K. – ἀκρασίη EH. – μινύθη, qui cependant ne se trouve pas dans les lexiques, a ici tellement l'air d'un substantif que je n'ai pas osé le changer en μινύθει, ce qui eût été facile. — [2] καίειν (E, al. manu λούειν) FGHIJK, Ald. – καὶ λούειν pro καίειν vulg. – χλιάσματι H. – ἐγχεῖν (ἐγχ. om. EGHIJKθ, Ald.) ἐς τὰς vulg. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. — [3] ῥᾶον Jθ, Mack. – γίνηται E. – ἢν pro ἐπὴν θ. – ἰῆσθαι (E, al. manu ἰῆσαι) HJKθ, Mack. – ἰῆσαι vulg. — [4] ἢν.... πολλὰ om. L. – ἢ εἰκ. om. (E, restit. al. manu) H. — [5] περὶ κυνάγχης EFGHIJKL. – λαμβάνῃ K. – χαλεπὸς K. — [6] καὶ ἀποπτύει τὰ θ, Mack. – καὶ ἀπ. δὲ καὶ τὰ E. – καὶ ἀποπτύει σκληρὰ, al. manu καὶ ἀπ. δὲ καὶ τὰ σίαλα σκληρὰ H. – καὶ (καὶ om. vulg.) κατ' ὀλίγον (ὀλίγα vulg.) Lθ, Lind., Mack. – τῷ (τῷ om., restit. al. manu H) vulg. – Il faut lire τῇ; voyez plus bas ἡ δὲ φάρυγξ. – γλῶτταν vulg. – γλῶσσαν EH, Mack. — [7] σκέπῃ E. – δὲ pro μὲν GJ, Ald. – μὲν om. (E, restit. al. manu) HKθ. – μέγα J. – ἔσω EH. – ἐγχρέμπτεσθαι EGHK, Ald. – ἐγχραίπτεσθαι (sic) J. – κείμενος (E, al. manu κεῖσθαι) HQ'θ, Lind., Mack. – κεῖσθαι vulg. — [8] ἂν J. – πρῶτα K. – σικύην θ. – σικύης H. – σικυίης E. – προσβαλέειν EGHIJK – προβάλειν (sic) θ. – σφόνδ. EH. — [9] πρῶτον· ἔπειτα παραξυρήσας (παραξηρήσας Frob.; προξυρήσας K') ἐν τῇ κ. καὶ (καὶ om., H restit. al. manu,

et impuissance et diminution du corps entier. Les choses étant ainsi, on le lavera avec beaucoup d'eau très-chaude, et on fera des applications chaudes sur la tête. Après la fomentation, on introduira dans les narines de la myrrhe et de la fleur de cuivre. Pour potage, il aura la décoction d'orge, et il boira de l'eau. Si par ces moyens l'état s'améliore, très-bien; sinon, il faut, et c'est la seule ressource, inciser le bregma; après l'écoulement du sang, on rapproche les lèvres de l'incision, on traite et on met un bandage. Si vous n'incisez pas, il meurt d'ordinaire le dix-huitième jour ou le vingtième.

26. (*Angine; comp. le* § 9. *Nettoyage de la gorge à l'aide d'une baguette enveloppée d'un morceau de laine.*) Angine : il y a fièvre, frisson, douleur de tête; le dessous des mâchoires se gonfle; le malade avale difficilement la salive; il crache aussi des matières dures et par petits morceaux (Voy. *Coaque* 418 et l'*Argument,* § 3, t. V, p. 579). La partie inférieure de la gorge est le siége d'un râlement. Si, saisissant la langue, vous examinez, vous trouvez la luette sans gonflement et vide; mais la gorge est en dedans pleine d'une salive visqueuse. Le malade ne peut cracher; il n'endure pas d'être couché, et, s'il reste dans cette position, il étouffe. Si vous êtes appelé auprès d'un homme en cet état, voici ce qu'il faut faire : d'abord mettre des ventouses vers la première vertèbre du cou de chaque côté, ayant rasé la tête près de l'oreille deçà et delà; et, quand la ventouse a pris, la laisser en place le plus longtemps possible; puis faire prendre un bain de vapeur avec le vinaigre, le nitre, l'origan et la graine de cardame (*erucaria aleppica* d'après Fraas), le tout broyé, avec autant de vinaigre que d'eau, avec addition d'un peu d'huile; on laisse macérer, puis on verse dans un vase, on met un couvercle qu'on enveloppe, on perce le couvercle, on y adapte un ro-

θ, Mack) π. τὸ οὖς τιθέναι (τιθ. om., restit. al. manu H) ἔνθεν καὶ ἔνθεν vulg. – Je lis ἐπὶ τὰ καὶ ἐπὶ τὰ pour ἔπειτα; la faute est fréquente. — [10] καὶ om., restit. al. manu H. – ἀποσφύζῃ H. – ἀποσφύξῃ EQ. – ἀποσκίμψης legit Foes in not., et provocat ad Gal. Gl. : ἀποσκήψεις, τὰς ἀποσχάσεις primo de Morbis majore. – ἀποσχάσῃς Lind. – συκίην J. – προσκαίεσθαι H. – νίτρῳ EK. – καὶ καρδ. σπέρμ. καὶ ὀριγάνῳ θ. – ἄλειφαρ E, Lind., Mack.

στάξας, διεῖναι [1]τούτῳ· ἔπειτα ἐς χυτρίδιον ἐγχέας, ἐπιθεὶς ἐπίθημα, [2]καὶ κατασκεπάσας, τρυπήσας τὸ ἐπίθημα, κάλαμον ἐνθεῖναι κοῖλον· ἔπειτα ἐπιθεὶς ἐπ' ἄνθρακας, ἀναζέσαι, καὶ ἐπὴν [3]διὰ τοῦ καλάμου ἡ ἀτμὶς ἀνίῃ, περιχάσκων ἑλκέτω ἔσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα· ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. Ἀναγαργάριστον [4]δὲ αὐτῷ ποιέειν ὀρίγανον καὶ πήγανον καὶ θύμβραν καὶ σέλινον καὶ μίνθην καὶ λίτρον ὀλίγον, μελίκρητον κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστάξαι· λεῖα τρίψας [5]τὰ φύλλα καὶ τὸ λίτρον, τούτῳ διεὶς, χλιήνας, ἀναγαργαριζέτω· ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν ῥάβδον, λείην ποιήσας, [6]καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν, [7]κατειλίξας αὐτὸ ἐν εἰρίῳ μαλθακῷ, [8]καθορῶν ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι ἢ ὑποκλύζειν· ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ὕδωρ ἐπιπινέτω. [9]Ἢν δέ οἱ οἴδημα ἐκφύῃ καὶ οἰδίσκηται πρὸς τὰ στήθεα καὶ ἐρυθρὸν ἔῃ καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης· ποιέειν δέ οἱ τάδε· ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, τεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, [10]προστιθέναι· ἀναγαργαριζέτω δὲ χλιαροῖσι, καὶ ἀλουτεέτω. Ταῦτα ποιέων μάλιστα ἂν ἐκφυγγάνοι. Ἡ δὲ νοῦσος θανατώδης, καὶ ἐκφυγγάνουσιν ὀλίγοι.

27. [11]Ἑτέρη κυνάγχη· πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ ἡ φάρυγξ φλεγμαίνει καὶ τὰ σιηγόνια, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται, πτύει δὲ παχὺ καὶ πολλὸν, καὶ φθέγγεται χαλεπῶς. Ὅταν οὕτως ἔχῃ, πρῶτον [12]μὲν σικύην προσβάλλειν τὸν αὐτὸν τρόπον ὥσπερ [13]καὶ ἄνωθεν εἴπομεν· ἔπειτα προσίσχειν σπόγγον βρέχων

[1] Τούτω EGHIKL, Vaticana exempl., Ald., Lind. – τοῦτο vulg. – εἰς J. – χυτρίδιον θ, Mack. – χυτρίδια vulg. — [2] καὶ κατασκεπάσας, τρυπήσας τὸ ἐπίθημα θ. – καὶ κ. τρ. τὸ ἐπ. om. vulg. – ζέσαι FGIK. — [3] διὰ τοῦ αὐλοῦ (τοῦ α. om., H restit. al. manu, θ) τοῦ vulg. – ἀνείη vulg. – ἔῃ, al. manu ἀνίῃ H. – ἂν ἴῃ L, Lind. – ἀνίῃ EIK. – εἴσω vulg. – ἔσω H. – καὶ ἔξωθεν sine δὲ EHθ. – εἰς K. – προστιθέσθαι (sic), al. manu θω E. — [4] δ' EH. – αὐτὸ J. – καὶ πήγανον θ, Mack. – καὶ π. om. vulg. – θρύμβαν G. – θρύμβραν EJ. – νίτρον EK. – μελίκρητόν τε (τε om. EH) vulg. — [5] τὰ φύλλα τῶν προειρημένων βοτανῶν (τῶν πρ. β. om., H restit. al. manu, θ) vulg. – νίτρον EK. – τούτω θ, Lind., Mack. – τοῦτο vulg. – ῥάβδον (E, ead. manu in marg. κλάδον; H, al. manu κλάδον), Lind., Mack. – κλάδον vulg. – ποιήσας om. FGJK, Lind. — [6] αὐτὴν ἐπικάμψας τὸ ἀκρὸν τὸ ἁπαλὸν τῆς ῥάβδου κατειλίξας εἰρίω μαλθακῶ (E, ead. manu in marg. καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν) (H, al. manu

seau creux; alors on place l'appareil sur des charbons, et on chauffe; quand la vapeur monte par le roseau, le malade, ouvrant la bouche, l'attire, prenant garde qu'elle ne lui brûle la gorge; à l'extérieur, on applique des éponges trempées dans l'eau chaude sur les mâchoires et le dessous. Pour gargarisme, prenez l'origan, la rue, la sarriette, le persil, la menthe, un peu de nitre; versez du mélicrat étendu d'eau et un peu de vinaigre; pilez les feuilles et le nitre; faites macérer, chauffez et employez en gargarisme. Si la salive est adhérente, prenez une branche de myrte, polissez-la, courbez-en l'extrémité flexible, enveloppez-la d'une laine molle, et, regardant dans la gorge, nettoyez la salive. Si le ventre n'est pas libre, prescrivez un suppositoire ou un lavement. Pour potage, le malade aura la décoction d'orge, et pardessus il boira de l'eau. S'il survient du gonflement, si ce gonflement se manifeste à la poitrine, et qu'il y ait de la rougeur et une chaleur brûlante, les chances de salut sont nombreuses (Aph. VI, 37; VII, 49). Voici ce qu'il faut faire: la phlegmasie s'étant tournée au dehors, trempez des feuilles de bette dans l'eau froide et appliquez-les. Les gargarismes seront chauds. Il ne prendra pas de bains. C'est par ces moyens surtout qu'il réchappera. La maladie est dangereuse, et peu sont sauvés.

27. (*Angine se propageant au poumon et se terminant par empyème.*) Autre angine: la fièvre et la douleur saisissent la tête; la gorge s'enflamme ainsi que le dessous des mâchoires. Le patient ne peut avaler sa salive; il crache épais et beaucoup; il parle difficilement. Les choses étant ainsi, d'abord on appliquera la ventouse comme nous avons dit plus haut; puis on apposera

καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν) θ. — [7] [καὶ] κατ. Lind. — [8] καθαιρῶν K. - εἰς E. - φάρυγα I. - ῥυμφανέτω EGHIJK, Ald. - πτισσ. E. — [9] ἢν H. - εἰ vulg. - ἐκφύει GIJK. - ἐκθύῃ, al. manu φ H. - οἰδίσκηται EH, Mack. - οἰδίσκεται vulg. - καίεται FGIJK. - σωτηρίας J. — [10] προστιθέτω θ. - μάλιστ' EHθ. - ἐκφυγγάνοι E HIJK. - ἐκφυγγάνῃ vulg. - ὀλίγοι EHθ. - ὀλίγιστοι vulg. — [11] ἑτέρη HI. - ἑτέρα vulg. - φάρυξ I. - σιηγόνια EH. - σιαγόνια vulg. — [12] μὲν om. K. - προσβαλέειν EGHIJK. — [13] τῇ pro καὶ IJK. - τῷ πρόσθεν pro καὶ ἄνωθεν EH (θ, τό). - εἴπομεν om. EH. - ἐν om. K.

ἐν ὕδατι θερμῷ πρὸς τὸν τράχηλον καὶ τὰ [1] σιηγόνια· ἀναγαργαρίζειν δὲ διδόναι τὸ ἀπὸ τῶν φύλλων εἰληθερές· πίνειν δὲ διδόναι μελίκρητον ὑδαρές· ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. Ἢν δέ[2] οἱ ταῦτα ποιέοντι τὸ σίαλον μὴ ἐξίῃ, πυριᾷν τὸν αὐτὸν τρόπον ὥσπερ ἐν τῇ πρόσθεν. Ἢν δέ οἱ ἐς τὰ στήθεα τράπηται ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, τεῦτλα ἢ [3] κολοκύντας καταταμὼν, ἐμβαλὼν ἐς ὕδωρ ψυχρὸν ἐπιτιθέσθω, καὶ πινέτω ψυχρὸν, ὅκως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται· ὅταν [4] δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσιν. Ἢν δὲ, τῆς φάρυγγος καθεστηκυίης καὶ τῶν οἰδημάτων, στραφῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπανέλαβε, καὶ ὀδύνη τοῦ πλευροῦ, καὶ ὡς ἐπιτοπολὺ ἀπέθανε, ἐπὴν τοῦτο γένηται· [5] ἢν δὲ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μή μιν βὴξ ἐπιλάβῃ αὐτίκα· ἢν [6] δὲ ἐπιλάβῃ, ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. Τοῦτον, ἔστ' ἂν [7] μὲν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, καὶ προσφέρειν ὅσα περ εἰ περιπλευμονίῃ ἔχοιτο· ἢν [8] δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας ῥοφήμασι διαχρῆσθαι· ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ [9] ἁλυκώτατα ἐσθίειν· ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκῃς ἔμπυον γινόμενον, δειπνήσας, ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα [10] ἐσθιέτω ὠμὰ ὡς πλεῖστα, καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον· [11] καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πῦον· ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιάσαι, καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον.

[1] Σιηγόνια θ. – σιαγόνια vulg. – τὸ δέον τῶν φύλλων εἰλειθερέες· πίνειν δὲ διδόναι (τὸ δ. τ. φ. εἰ. π. δὲ δ. om. vulg.) θ. – Au lieu de δέον je lis ἀπό; voyez p. 48, l. 1, et l. 7. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. — [2] οἱ (addunt τῷ K, τὸ J) τὰ (τὰ om. Mack) τοιαῦτα (ταῦτα pro τὰ τ. HIJKθ) vulg. – τὸ σ. om. FGJK, Ald. – τὸ σ. ponunt ante ταῦτα E (H, al. manu) θ. – ἔῃ H. – ἢ θ. – ἐξείῃ J. — [3] κολοκύντῃ FG. – [καὶ] ἐμβαλὼν Lind. – ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν ἐπιρριπτέτω καὶ πινέτω K'. – ὕδωρ χλιαρὸν ἐπιροφανέτω (ἐπιῤῥοφανέτω Mack; ἐπιρυμφανέτω EGHIJK, Ald.) vulg. – Je lis ὕδωρ ψυχρὸν ἐπιτιθέσθω; voyez plus haut, p. 42, l. 17. – ὅκως θ. – ὅπως vulg. – εὐπετέστατον H. – εὐπετέστατα Eθ. — [4] δ' EH. – πλείονες GIJK, Ald. – πλεῦνες (E, al. manu πλέονες) (H, sine οἱ, al. manu οἱ πλείονες). – φάρυγος I. – τρεφθῇ E (H, al. manu στραφῇ) Q'θ, Lind., Mack. – πνεύμονα GIJK. – εὐθὺς om., restit. al. manu H. – ἐπὴν EH. – ἐπὰν vulg. — [5] ἢν.... γίνεται om. FGIJK. – δ' H, Ald. – ὑπεκφύγῃ θ. — [6] δ' E. – ἐπιλάβῃ E (H, al. manu, erat prius ὑπολάβῃ) P'θ. – ὑπολάβῃ vulg. — [7] μὲν EH. – μὲν om. vulg. – ὅσα (ὅσαπερ θ) (addit εἰ θ) τῇ (τῇ om., H restit. al. manu, θ) περιπλευμονίῃ (περιπν. GJK) (addunt ἔχοιτο Hθ) vulg. — [8] δ' EH. – ὑπεκφύγοι θ. – ὑποφύγῃ J. – ῥυμφή-

une éponge trempée dans l'eau chaude au cou et sous les mâchoires. Pour gargarisme il aura la préparation susdite des feuilles, chaude ; pour boisson, le mélicrat étendu d'eau ; et en potage on lui fera prendre, à force, de la décoction d'orge. Si par ces moyens la salive ne sort pas, on lui donnera un bain de vapeur comme dans le cas précédent. Si la phlegmasie se tourne à la poitrine ou au cou, coupez des bettes ou des courges, trempez-les dans l'eau froide, et appliquez-les ; faites boire froid, afin que la salive soit expulsée plus facilement. Quand le gonflement se porte en dehors à la poitrine, la plupart réchappent. Il peut arriver que, le mal de gorge et les gonflements cessant, la maladie se tourne sur le poumon ; aussitôt la fièvre reprend, et la douleur de côté se fait sentir. Le malade, après cet accident, succombe d'ordinaire ; mais, s'il passe cinq jours, il devient empyématique (à moins que la toux ne survienne aussitôt ; si elle survient, il expectore, se nettoye et guérit. En ce cas, tant que la douleur se fait sentir au côté, il faut échauffer ce côté, et traiter comme pour la péripneumonie. S'il passe les cinq jours et que la fièvre se relâche, mais que la toux persiste, il usera de potages pendant les premiers jours ; quand il commence à prendre des aliments solides, il les prendra très-gras et très-salés. Mais s'il n'y a pas de toux et que vous reconnaissiez la formation de l'empyème, le malade, à son repas du soir et quand il va dormir, mangera de l'ail cru en grande quantité, et boira par dessus un vin généreux et pur. Si, de cette façon, le pus fait éruption, tant mieux ; sinon, le lendemain, après avoir été lavé à l'eau chaude, il prendra un bain de vapeur. Si l'éruption s'ensuit, on traitera comme dans le cas d'empyème.

μασι EG, Ald. – ῥυφήμασι HIJ. – ῥυφήματι K. – δεῖ χρῆσθαι L, Lind. — [9] ἀλυκ. HIJ. – ἁλικ. vulg. – μεθίειν pro ἐσθίειν θ. – δέ οἱ ἡ βὴξ θ. – τι pro τοι J. – γινώσκειν vulg. – γινώσκεις Q', Lind., Mack. – γινώσκης EHθ. – δειπνήσαντα vulg. – Il faut lire δειπνήσας, l'accusatif ayant été vicieusement attiré par les accusatifs précédents. – μέλλει vulg. – μέλλοι IK. – μέλλη EHJ. — [10] ὠμὰ τρωγέτω EH. – πινέτω FGIJK. – ἐπινέτω (sic), al. manu ἐπιπινέτω H. — [11] καὶ om. (H, restit. al. manu) θ.

28. [1] Ἑτέρη κυνάγχη· φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης καὶ τὸ κλῆθρον τὸ ὑπὸ τὸν βρόγχον, καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ' [2] ἄλλο οὐδέν· ἢν δ' ἀναγκασθῇ, διὰ τῶν ῥινῶν οἱ ῥέει. Ὅταν [3] οὕτως ἔχῃ, τρίψας μίνθην χλωρὴν καὶ σέλινον καὶ ὀρίγανον καὶ λίτρον καὶ τῆς ῥόου τῆς ἐρυθρῆς, μέλιτι διεὶς, παχὺ ποιέων, [4] ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν ᾗ ἂν οἰδέῃ· ἔπειτα ἀναζέσας σῦκα, [5] ἀποχέας τὸ ὕδωρ, τρίψας τῆς ῥόου, ὀλίγην διῆναι τῷ συκίῳ τούτῳ, [6] καὶ ἀναγαργαρίζειν, ἐὰν δύνηται· ἢν δὲ μὴ, διακλύζεσθαι· πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ· ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιηγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ [7] ἕψοντα, χλιαρῷ, καὶ ἄρτους προστιθέναι θερμούς. Ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλήθρῳ, καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ῥηγνύηται, ψηλαφήσας τῷ δακτύλῳ ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς [8] τὸν δάκτυλον τρῆσαι. Ταῦτα ποιήσαντι ὑγιέες γίνονται· ἡ δὲ νοῦσος αὕτη ἥκιστά ἐστι θανατώδης.

29. [9] Σταφυλή· ἢν [10] σταφυλὴ ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος, καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανὴς, καὶ ἐπιλαμβάνει τὴν πνοιὴν, καὶ ἢν φλεγμαίνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται· ἢν δὲ αὐτὸ [11] ἐφ' ἑωυτοῦ γένηται, τούτων μὴ φλεγμηνάντων, ἧσσον ἀποθνήσκει. Ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα, [12] ἄνω ἐς τὴν ὑπερώην ἀποπιέσας, διατα-

[1] Ἑτέρα EJ. – Weigel, Suppl. du Dict. de Schneider, v. Κλεῖθρον, propose de supprimer le καί. Cela n'est pas autorisé par les mss. et ne paraît pas nécessaire. – κλεῖθρον vulg. – κλῆθρον θ, Mack, Gal. in Gl. qui exponit ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις. – τῷ βρόγχῳ (βρόχω EH) vulg. – τὸν βρόγχον FL, Lind. (βρόχον GIJK). – Weigel, ib., propose de lire ὑπέρ; mais, avec l'accusatif, ὑπὸ peut être conservé sans faire tort à l'anatomie. — [2] ἄλλ' H. – οἰδέει pro οἱ ῥέει (E, al. manu οἱ ῥέει) FGHIJKθ, Ald. — [3] οὕτως καὶ ἔχη J. – νίτρον EK. – ἐρυθρᾶς EHIJK. — [4] ἐγχέειν FG. – ἐσχρίειν θ, Mack. – οὗ (οὗ om., restit. al. manu H) vulg. – ᾗ θ, Mack. – οἰδέοι E. – ᾠδέει, al. manu οἰδέει H. — [5] καὶ (καὶ om., H restit. al. manu, θ, Mack) ἀποζέσας (ἀποχέας θ, Mack) ἐς (ἐς om. E, H restit. al. manu, θ, Mack) (addunt τὸ θ, Mack) ὕδωρ vulg. – διεῖναι Lind. – σύκιον exponit Gal. Gl. τὸ τῶν ἰσχάδων ἀφέψημα. — [6] ἐὰν δύνηται ἀναγ. sine καὶ EHP'θ. – καὶ τούτῳ ἐὰν δ. ἀναγ. Lind. – Post ἐὰν addit δὲ G. – κρημνῶν I. – κρήμνων K. – σιηγόνια EH. – σιαγόνια vulg. — [7] ἕψοντας FG. – κλήθρω θ, Mack. – κλείθρῳ vulg. – ῥηγνύηται EHθ. – ῥήγνυται vulg. – ψηλαφίσας J. – μαλακὸν θ. – ᾖ EHθ. — [8] τὸν om. EGK, Ald. – τύψαι θ. – τρύψαι, al. manu τρῆσαι H. – Post τρ. addunt τοῖς πλείστοισι Eθ. – ποιήσαντες Jθ. – πολλοὶ (πολλοὶ om., restit. al.

28. (*Inflammation de la partie postérieure de la langue et de l'épiglotte. Abcès, ouverture.*) Autre angine : la partie postérieure de la langue et l'opercule qui est à la gorge s'enflamment ; le malade ne peut avaler sa salive ni rien autre ; si on l'y force, cela revient par les narines. Les choses étant ainsi, pilez de la menthe verte, du persil, de l'origan, du nitre et du sumac rouge, trempez dans du miel, faites épais, et frottez-en la langue en dedans là où est le gonflement. Puis faites bouillir des figues, transvasez ; pilez du sumac, trempez-en un peu dans cette eau de figues, et qu'il se gargarise avec cela s'il peut ; sinon, qu'il s'en lave la bouche. Il boira l'eau de farine d'orge. A l'extérieur, on appliquera sur le cou et le dessous des mâchoires un cataplasme chaud de farine cuite dans du vin et de l'huile; et on appliquera aussi des pains chauds. En effet le plus souvent il se forme de la suppuration dans l'opercule; si elle se fait jour spontanément, le malade guérit. Sinon, tâtez avec le doigt si la partie est molle, attachez au doigt un ferrement aigu, et perforez. Par ces moyens, on obtient la guérison : cette maladie n'est nullement mortelle.

29. (*Inflammation de la luette ; répétition du § 10. Excision de la luette.*) Grain de raisin : si le grain de raisin se forme dans la gorge, le bout de la luette se remplit d'eau, s'arrondit et devient transparent; la respiration est gênée, et, si le dessous des mâchoires s'enflamme des deux côtés, le malade étouffe. Dans le cas où la luette est seule affectée sans inflammation concomitante de ces parties, le danger est moins grand. Quand il en est ainsi, prenez la luette avec le doigt, pressez-la en haut contre le palais, et tranchez-en le bout ; puis donnez le garga-

manu, θ) ὑγιαίνουσιν (ὑγιέες γίνονται Hθ) vulg. - ἐστι om., restit. al. manu H. — [9] στ. om. θ. - περὶ σταφυλῆς EFGIJL. - περὶ σταφυλίδος K. — [10] σταφυλὶς vulg. - σταφυλὴ E (H, al. manu σταφυλὶς) JLθ, Lind., Mack. - γένηται ἐν τ. φ. EHθ. - φάρυγι FI. - ἄκρως EJ. - φλεγμήνη EHIK, Lind. - σιηγόνια Mack. - Ante ἀποπν. addit καὶ J. — [11] ὑφ' vulg. - ἐφ' EIKLθ, Lind., Mack. - φλεγμηνόντων (sic) HK. - φλεγμηνάντων EP'Q', Lind., Mack. - φλεγμαινόντων vulg. — [12] ἄνω om. FG. - ἀποπιάσας FGIJK. - διαταμέειν θ, Mack. - διατεμνέειν vulg. - διαταμνέειν P'. - διατέμνειν J. - διατεμέειν EH.

μέειν ἄκρον· ἔπειτα διδόναι ἀναγαργαρίζειν [1]τὸ ἀπὸ τῶν φύλλων· λείχειν δὲ ἄλητον ψυχρὸν, καὶ ὕδωρ ἐπιπίνειν, καὶ μὴ λούεσθαι.

30. [2]Ἀντιάδες· ἢν ἀντιάδες γένωνται, συνοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν, καὶ ψαυόμενον σκληρόν ἐστιν ἔξωθεν, καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. Ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον, [3]διωθέειν τὰς ἀντιάδας· πρὸς δὲ τὸν γαργαρεῶνα προσχρίειν ἄνθος χαλκοῦ ξηρὸν, καὶ ἀναγαργαρίζειν τῷ ἀπὸ τῶν φύλλων εἰληθερεῖ· ἔξωθέν [4]τε καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν, ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν, χλιαρήν. Ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, ἔσωθεν ἀφασσώμενα, ὑποτύψαι μαχαιρίῳ· ἔνια δὲ καὶ αὐτόματα καθίσταται.

31. [5]Ὑπογλωσσίς· ἢν ὑπογλωσσὶς γένηται, ἡ γλῶσσα οἰδίσκεται, καὶ τὸ ὑποκάτω, καὶ τὸ ἔξω ψαυόμενον σκληρόν ἐστι, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. Ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων προστιθέναι, καὶ τὴν [6]ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ καταπλάσσειν ἔξω ᾗ ἂν ἀποιδέῃ· ἀναγαργαρίζειν δὲ τῷ [7]συκίῳ, καὶ μὴ λούεσθαι· ἐπὴν δὲ διάπυον γένηται, τάμνειν· ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται, καὶ καθίσταται οὐ τμηθέν· ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι.

32. [8]Φλέγμα συστὰν ἐς τὴν ὑπερώην· ἢν δὲ [9]φλέγμα συστῇ ἐς τὴν ὑπερώην, ἀποιδέει καὶ ἐμπυΐσκεται. Ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα· ἐπὴν [10]δὲ ἐξίῃ τὸ πῦον, κλύζειν τὸ λοιπὸν, πρῶτον μὲν λίτρῳ καὶ ὕδατι χλιαρῷ, ἔπειτα οἴνῳ, ἐπὴν [11]δὲ ἐκκλύσῃ, σταφίδα τρίψας λευκὴν, ἐξελὼν τὸ γίγαρτον, ἐντιθέναι ἐς τὸ καῦμα· ἐπὴν [12]δὲ

[1] Τῷ Lind. – φύλων J. – Gal. Gl. : φύλλα τὰ κηπαῖα καὶ βοτανώδη χλωρὰ ἡδύσματα; et : φύλλια ἡδύσματα κηπαῖα, ἃ τοῖς ὠνουμένοις τὰ λάχανα προσεπιτιθέασιν, οἷον κορίανον, ἡδύοσμον, πήγανον, σέλινον. Probablement il faut lire dans notre passage φυλλίων ou φυλλείων. — [2] ἀντ. om. θ. – περὶ ἀντιάδων EFGIJKL. – συνοιδέειν FGIJ. — [3] διαθέειν FG, Ald. – τὸ (τῶ EHθ) ἀπὸ τ. φ. εἰλιθέρει (εἰλθέρει sic GI; εἰλθέρα sic J; εἰλιθερεῖ K; εἰλιθέρει EH; εἰληθερὲς Lind.; εἰλιθερὲς Mack) vulg. – Gal. Gl. : ἐλιθερὲς, τὸ ὡς ἀπὸ ἡλίου θερμόν. — [4] δὲ pro τε Lind. – ἡ J. – ἀποιδέει G. – ὠμήλοισιν H. – ὠμῇ λύσει FGIJK. – ἕψειν FG. – ἑψῆν Ald. – ἀφασσόμενα EHKθ, Lind., Mack. – ψηλαφώμενα exponit Gal. Gl. – καθίστανται E. – καθίστασθαι, al. manu καθίσταται H. — [5] ὑπ. om. Hθ. – περὶ ὑπογλωσσίδος K. – ἐὰν ὑπογλωττὶς γένηται pro ὑπογλ. EFGI. — [6] ὠμὴν λύσιν H (J, λύσην). – ἡ J. — [7] σικύῳ Ald. – τάμειν (sic) J. – αὐτόματα E. – ῥήγνυται θ. – δ' ἔξω EH. — [8] φῦμα ξυστὰν Lind. – φλέγμα.... ὑπερώην om. Hθ. – ἢν φλέγμα συστῇ εἰς τὴν ὑπερώην pro

risme fait avec les plantes (*voy. p.* 43, *l.* 5). Faites prendre de la farine de froment froide et boire de l'eau par dessus. Pas de bain.

30. (*Amygdalite. Comp. le* § 11.) Amygdales : quand les amygdales s'affectent, il se forme à la mâchoire, des deux côtés, un gonflement ; on sent, en touchant par dehors, de la dureté ; la luette entière est enflammée. Les choses étant ainsi, introduisez le doigt et écartez les amygdales ; frottez la luette avec de la fleur de cuivre sèche ; faites gargariser avec le gargarisme susdit, chaud (*Voy. p.* 43). A l'extérieur, appliquez, là où il y a gonflement, un cataplasme chaud de farine d'orge cuite dans du vin et de l'huile. Quand les tumeurs vous paraîtront molles, touchées par dedans, percez-les avec un bistouri. Quelques-unes guérissent spontanément.

31. (*Hypoglossite. Comp.* § 11.) Hypoglossite : quand il se forme une hypoglossite, la langue se gonfle ainsi que les parties subjacentes ; au dehors il y a dureté au toucher, et le malade ne peut avaler sa salive. Les choses étant ainsi, appliquez une éponge trempée dans l'eau chaude ; mettez, là où il y a gonflement, un cataplasme de farine d'orge cuite dans le vin et l'huile ; faites gargariser avec la décoction de figues. Pas de bains. Quand la suppuration est formée, incisez. Quelquefois le pus se fait jour spontanément, et les choses se remettent sans incision. Quand la suppuration se fait jour à l'extérieur, cautérisez.

32. (*Inflammation du palais.*) Phlegme fixé au palais : quand du phlegme se fixe au palais, cette partie se gonfle et suppure. Les choses étant ainsi, cautérisez la tumeur. Quand le pus est sorti, nettoyez le reste d'abord avec du nitre et de l'eau tiède, puis avec du vin. Après ces lotions, écrasez du raisin sec blanc

φλέγμα.... ὑπερώην EI (K, ἐὰν συστῇ φλέγμα εἰς τὴν ὑπερώαν). — [9] φῦμα ξυστῇ Lind. — [10] δ' EH. -νίτρῳ EK. — [11] δὲ om. G. - δ' θ. -ἐλκύσῃ (E, al. manu ἐκκλύσῃ) HI. -ἐκλύσῃ J, Ald. - ἐκκλύσης θ. - ἀσταφίδα EHθ, Lind., Mack. — [12] δ' EH. -διακλυζέσθω EHθ. -ἐσθίειν τι EHIJK. -ῥυμφάνει EGHIJK, Ald.

ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέτω, καὶ ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφάνειν, σπόγγιον ἐντιθέναι· ταῦτα ποιέειν ἔστ' ἂν ὑγιὴς γένηται.

33. [1]Πώλυπος· ἢν [2]πώλυπος γένηται ἐν τῇ ῥινὶ, ἐκ μέσου τῶν χόνδρων κατακρέμαται, οἷον γαργαρεὼν, καὶ ἐπὴν ὤσῃ τὴν πνοιὴν, προσέρχεται ἔξω, καὶ ἐστὶ μαλθακὸν, καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω, καὶ φθέγγεται [3]σομφὸν, καὶ ἐπὴν καθεύδῃ, ῥέγχει. Ὅταν οὕτως ἔχῃ, σπόγγιον καταταμὼν στρογγύλον, [4]καὶ ποιήσας οἷον σπεῖραν, κατειλίξαι [5]λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν· εἶναι δὲ μέγεθος ὥστε ἐπαρτίζειν ἐς τὸν μυκτῆρα, καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχόθι· μῆκος [6]δὲ ἔστω ὅσον πυγονιαῖον ἕκαστον· ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, ῥάβδον λαβὼν κασσιτερίνην λεπτὴν ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον ἐπὶ τὸ ὀξὺ, καὶ ἐπὴν [7]λάβῃ, διέρσας διὰ τοῦ κύαρος τὸ λίνον, ἕλκειν ἔστ' ἂν [8]λάβῃ τὴν ἀρχήν· ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα, ἀντερείδων, ἕλκειν ἔστ' ἂν ἐξειρύσῃς τὸν πώλυπον. Ἐπὴν [9]δὲ αὐτὸν ἐκσπάσῃς καὶ παύσηται τὸ αἷμα ῥέον, περιθεὶς περὶ τὴν μήλην ξηρὸν ὀθόνιον μοτῶσαι, καὶ τὸ λοιπὸν ἀναζέσαι [10]τοῦ ἄνθευς ἐν μέλιτι, καὶ χρίων τὸν μοτὸν ἐντιθέναι ἐς τὴν ῥῖνα· καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος ὥς τοι καθίκῃ πρὸς τὸ ἕλκος, τοῦτον μέλιτι χρίων προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται.

34. Ἕτερος [11]πώλυπος· ἐμπίπλαται ἡ ῥὶς κρέασι, καὶ ψαυόμενον τὸ κρέας σκληρὸν φαίνεται, καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. Ὅταν οὕτως ἔχῃ, [12]ἐνθέντα χρὴ σύριγγα καῦσαι σιδηρίοισιν ἢ τρισὶν

[1] Π. om. Hθ. – ἐὰν εἰς τὴν ῥῖνα πώλυπος γένηται pro π. EFGIJ. – περὶ πόλυπος (sic) ἐν ῥινὶ K. — [2] πώλ., al. manu πού H. – πούλυπος E. – πόλυπος JK. – τοῦ χόνδρου EHIQ'θ, Lind. – κρεμᾶται L. – κάτω κρεμᾶται Lind. – καὶ ἐστὶ μαλθακὸν om. K. — [3] σοφὸν J. — [4] καὶ om. (H, restit. al. manu) θ. – σπεῖραν EHJK. – κατελίξαι θ, Mack. — [5] καὶ λίνω J. – ὥστ' EH. – ἐπαρτίζειν Lθ, Mack. – ἐσαρτίζειν vulg. – τὸν σπόγγον K. — [6] δ' EH. – πυγωνιαῖον Eθ, Mack. – ἔσχατον Lind. – αὐτῶ J. – ῥᾶβδον (bis) Ald. – κασσιτηρίνην Ald. – διείρην (sic) K. — [7] λάβης θ, Mack. – τὸ, al. manu τὸν H. – τὸν vulg. – τὸ λ. om. θ. – λῖνον E. – κύαρ, τὸ τῆς ῥαφίδος τρῆμα καὶ τὸ τῆς κώπης τοῦ μύλου in marg. H. — [8] λάβῃς Eθ, Mack. – μήλην Lind. – Gal. Gl. : χηλὴν, μήλην δίκρουν κατὰ τὸ ἄκρον ἐκτετμημένην ἐμφερῶς χηλῇ. – ἀντεριδὼν (sic) θ. – ἂν EFGHL, Ald., Lind., Mack. – ἂν om. vulg. – πούλυπον E. – πόλυπον IJK. — [9] δ' EH. – αὐτὸν om. E (H, restit. al. manu post ἐκσπάσῃς) θ, Mack. – Post ἐκσπ. addit αὐτὸς E. – μωτῶσαι Ald. — [10] τοὺς J. – ἐντιθέναι EHθ,

après avoir ôté le pepin, et mettez dans l'endroit cautérisé. Quand cela tombe, le malade se lavera avec du vin pur tiède. Quand il va manger quelque chose ou prendre un potage, il met une éponge. Voilà ce qu'il faut faire jusqu'à guérison.

33. (*Polype; arrachement avec un fil et une éponge.*) Polype : quand un polype s'est formé dans le nez, il pend du milieu des cartilages comme une luette; quand le malade pousse sa respiration, le polype sort au dehors et il est mou; dans l'inspiration il rentre. La voix est voilée; et pendant le sommeil il y a ronflement. Les choses étant ainsi, coupez une rondelle d'éponge, faites-en une boule, et liez-la d'un fil d'Égypte assez fortement pour la rendre dure. La grosseur en doit être telle qu'elle s'adapte à la narine. L'éponge sera attachée avec quatre fils dont chacun sera long d'une coudée. Vous réunirez ces quatre fils en un seul bout; vous prendrez une verge d'étain mince et percée d'un trou à une de ses extrémités. Vous ferez passer jusque dans la bouche cette verge par son extrémité mince. Puis, l'ayant saisie, vous passerez par le châs le bout des quatre fils, et vous tirerez jusqu'à ce que vous saisissiez le bout des fils. Alors, plaçant un pied de biche à la luette et soutenant, vous tirerez jusqu'à ce que vous ameniez le polype. Quand il est arraché et que le sang a cessé de couler, vous mettrez autour de la sonde un linge sec; puis vous ferez bouillir de la fleur de cuivre dans du miel; vous en enduirez la tente et vous la mettrez dans le nez. Lorsque la plaie arrive à cicatrisation, vous ferez une tige en plomb qui aille jusqu'à la plaie, vous l'enduirez de miel, et vous l'introduirez jusqu'à guérison.

34. (*Polype; cautérisation.*) Autre polype : le nez se remplit de chair; cette chair, au contact, paraît dure; le malade ne peut respirer par le nez. Les choses étant ainsi, mettez une canule et cautérisez avec trois ou quatre ferrements. Après la

Mack. - προστιθέναι vulg. - μόλυϐδον EI. - καθίκει G. - καθίκοι E. - τοῦτο H. - τοῦτον om. θ. — [11] πούλ. EL. - πόλ. IJK. - γίνεται (H, al. manu φαίνεται) θ. — [12] ἐνθέντι FJ. - σιδηρίησιν Ald. - τρισσὶν G, Ald., Frob., Lind. - τετρασὶν E. - ἐλλεϐ. K, Lind., Mack. - ἐλεϐ. J.

ἢ τέσσαρσιν· ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἐλλεβόρου τοῦ μέλανος [1]τρίψας, καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοὺς τοὺς λινέους χρίων τῷ μέλιτι ἐπιτίθει σὺν τῷ ἄνθει· ἐπὴν [2]δὲ ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐστίθει, ἄχρις ἂν ὑγιὴς γένηται.

35. Ἕτερος [3]πώλυπος· ἔσωθεν ἐκ τοῦ χόνδρου προέχει κρέας στρογγύλον· ψαυόμενον δὲ μαλθακόν ἐστιν. Ὅταν οὕτως ἔχῃ, χορδὴν λαβὼν νευρίνην, βρόχον [4]αὐτῇ σμικρὸν ποιήσας, κατειλίξαι λίνῳ λεπτῷ, ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μέζονα ποιήσας τὸν βρόχον· ἔπειτα τὴν ἀρχὴν [5]διεῖραι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης· ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ ἐντετμημένῃ περιτείνας τὸν βρόχον περὶ τὸν πώλυπον, ἐπὴν περικέηται, διείρειν τὴν ῥάβδον ἐς τὸ στόμα, καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον, τῆς χηλῆς ὑπερειδούσης· ἐπὴν [6]δὲ ἐξελκύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν.

36. Ἕτερος [7]πώλυπος· ἔσωθεν παρὰ τὸν χόνδρον ἀπό τευ σκληρὸν φύεται, καὶ δοκέει μὲν εἶναι κρέας· ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφέει οἷον λίθος. Ὅταν οὕτως ἔχῃ, σχίσαντα τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι, ἔπειτα ἐπικαῦσαι· τοῦτο δὲ ποιήσας, συρράψαι [8]πάλιν τὴν ῥῖνα, καὶ ἰῆσθαι τὸ ἕλκος τῷ χρίσματι ἐναλείφων, ῥάκος ἐντιθέναι, καὶ ἐπὴν περισαπῇ, ἐγχρίειν τὸ ἄνθος [9]τὸ ἐν τῷ μέλιτι· ἀλθίσκειν δὲ τῷ μολύβδῳ.

37. [10]Ἄλλος· φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια· [11]πάντα δὲ ταῦτα καίειν χρή· ὅταν [12]δὲ καύσῃς, ἐπιπάσαι τοῦ ἐλλεβόρου· ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ ἄνθει [13]τῷ σὺν [14]τῷ μέλιτι· ἀλθίσκειν δὲ τῷ μολίβδῳ.

[1] Τρίψας λεῖον θ. – λιναίους vulg. – λινέους legendum censet Lobeck, Phr. Ecl., p. 147. – μέλιτι καὶ τῶ ἄνθει ἐστιθέναι EH (P′Q′, ἐπιτίθεται). – ἐντιθέναι Lind. — [2] δ' EH. – τὸν μόλιβδον L. – μολύβδους EHIJ. – ἐντίθει J. – ἔστ' pro ἄχρις EHθ. — [3] πούλ. E. – πόλ. IJK. – πρόσχει (sic) J. — [4] αὐτῆς θ. – μέζονα EHIJK. – μείζονα vulg. — [5] διεῖναι LP′, Lind. – κασσιτερίνης EHθ, Lind., Mack. – καττιτερίνης vulg. – ἐκτετμημένη G. – ἐκτεταγμένῃ Ald. – περὶ τ. πώλ. τὸν βρ. (E, πούλ) H (θ, τοῦ πωλύπου). – πόλυπον IJK. – περικαίηται vulg. – περικάηται L. – περικέηται EHIJK, Lind., Mack. – διαίρειν vulg. – διείρειν (H, al. manu αί) Lθ, Lind., Mack. – τὴν ῥάβδον om. θ. – χειλῆς J. – μήλης Lind. — [6] δ' EHθ. – ἐξελαύσῃς Frob., Lind. — [7] πούλ. E. – πόλ. IJK. – καὶ om. (H, restit. al. manu) θ. – οἷα EFG (H, al. manu) IJK. — [8] π. om. (H, al. manu) θ, Mack. – μέλιτι pro χρίσματι K′. — [9] τῶ EGK. – μολίβδω EGIK, Ald., Frob., Lind., Mack. — [10] ἄλ. om. HI. – ἄλλος G, Ald., Lind. – ἄλλως

cautérisation, introduisez de l'ellébore noir broyé; après la corruption et la chute de la chair, faites des tampons de lin, enduisez-les de miel, et placez-les avec la fleur de cuivre dans le nez. Quand la cicatrisation avance, enduisez de miel les tiges de plomb et introduisez-les jusqu'à guérison.

35. (*Polype; arrachement par un fil.*) Autre polype : en dedans du cartilage proémine une chair ronde; au toucher elle est molle. Les choses étant ainsi, prenez une corde de nerf, faites-y une bouclette, tournez autour un fil menu; puis passez l'autre bout de ce fil dans la bouclette en faisant une boucle plus grande. Passez le bout dans le châs de la verge d'étain; mettez la boucle dans le nez et passez-la autour du polype à l'aide de la sonde entaillée; quand la boucle est en place, introduisez la verge jusque dans la bouche; saisissez le fil, et tirez-le de la même façon, en soutenant avec le pied de biche. Le polype étant arraché, traitez comme dans le cas précédent.

36. (*Polype; incision de la narine et cautérisation.*) Autre polype : en dedans, le long du cartilage, pour une cause quelconque, il naît une dureté, et ce paraît être une chair; mais si l'on y touche, cela résonne comme une pierre. Les choses étant ainsi, fendez la narine avec un bistouri, nettoyez, puis cautérisez par dessus. Cela fait, recousez la narine, traitez la plaie en l'oignant avec l'onguent, mettez un linge; quand le tout s'est consumé, enduisez avec la fleur de cuivre dans du miel; achevez la guérison avec le plomb.

37. (*Espèce de cancer dans le nez; cautérisation.*) Autre : sur le côté du cartilage, à l'extrémité, naissent des espèces de cancers : il faut brûler tout cela; après la cautérisation, saupoudrez d'ellébore. Quand tout est consumé, mondifiez avec la fleur de cuivre dans le miel; achevez la guérison avec le plomb.

vulg. – ἕτερος θ. – ἄλλος πούλυπος E (Mack, πώλ.). – ἕτερος πόλυπος JK. — [11] τ. δὲ π. J. – δὲ om. EH. — [12] δὲ om. P'. – ἐμπάσαι HQ', Lind. – ἐμπᾶσαι E. – ἐπιπάσσαι IJK. – ἐλεϐ. J. – ἐλλεϐ. Ald., Frob., Lind., Mack. — [13] τῳ EHθ. – τῷ om. vulg. — [14] τῷ om. E. – μολύϐδῳ HJ.

38. [1]Ἴκτερος· ἡ χροιὴ μέλαινα γίνεται κατὰ τὸ πρόσωπον, μάλιστα δὲ τὰ ἐσκιασμένα, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ καὶ ἡ γλῶσσα κάτωθεν, καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ παχεῖαι καὶ μέλαιναι, καὶ ἄπυρος γίνεται, καὶ οὐρέει παχὺ χολῶδες. Ὅταν οὕτως ἔχῃ, [2]πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχᾶν, ἔπειτα λούοντα πολλῷ καὶ θερμῷ, διδόναι πίνειν νήστει τοῦ ἀσφοδέλου τὰς ῥίζας, [3]ἀποκαθαίρων, ἑψῶν ἐν οἴνῳ [4]ὅσον πέντε ῥίζας, καὶ σέλινα συμμίξας ὅσον χεῖρα πλήρεα τῶν φύλλων· ἐπιχεῖν δὲ οἴνου γλυκέος τρία ἡμικοτύλια αἰγιναῖα, καὶ λείπειν [5]ἡμικοτύλιον· τοῦτο κιρνὰς, ἕκτον αὐτῷ διδόναι πίνειν· ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι χρῆσθαι διαχωρητικοῖσι, καὶ μετὰ τὸ σιτίον ἐρεβίνθους λευκοὺς τρωγέτω, καὶ πινέτω οἶνον λευκὸν, πολὺν, ὑδαρέα, καὶ σέλινα τρωγέτω ἐπὶ τῷ σιτίῳ καὶ [6]πράσα. Ποιεέτω δὲ ταῦτα ἑπτὰ ἡμέρας, καὶ ἢν μέν οἱ δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς· [7]ἢν δὲ μὴ, καὶ ἑτέρας τρεῖς ταῦτα ποιεέτω· μετὰ δὲ, ἐπισχὼν μίαν ἢ δύο ἡμέρας, πρόσθες φάρμακον [8]πρὸς τὰς ῥῖνας· μετὰ δὲ, φάρμακον πῖσον κάτω, ὑφ' οὗ χολὴν καθαρεῖται, καὶ ἢν [9]μὴ σπληνώδης ἔῃ, ὄνου γάλα ἢ ὀῤῥὸν μετάπισον. Ταῦτα ποιέων ὑγιὴς γίνεται.

39. [10]Ἕτερος ἴκτερος· πυρετὸς λαμβάνει βληχρὸς, καὶ τὴν κεφαλὴν βάρος ἔχει, καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν· αὐτὸς δὲ γίνεται χλωρὸς, οἵ τε ὀφθαλμοὶ μάλιστα, καὶ [11]ἀσθενείη, καὶ ἀκρησίη τοῦ σώματος, καὶ οὐρέει παχὺ καὶ χλωρόν. Τοῦτον [12]θερμῷ λούειν, καὶ διδόναι πίνειν διουρητικά· ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι καὶ ἡ χροιὴ [13]βελτίων γένηται, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας, καὶ

[1] Ἴκ. om. H. – ἴκτερος μέλας K'. – χροιὰ EH. – γίνεται καὶ τὸ (κατὰ pro καὶ τὸ L, Lind., Mack) πρόσωπον vulg. – Je lis κατὰ τό. — [2] πρῶτα K. – ὑποσχᾶν (E, al. manu ἀ) H. – πολλῷ τῷ (τῷ om. ELQ', Lind.; καὶ pro τῷ FG HIJKθ, Ald., Mack) θερμῷ vulg. — [3] ἀπο.... ῥίζας om. FGIJK. — [4] ἶσον vulg. – Lisez ὅσον. – συμμίξαι HIJ. – χειροπληθέα pro χ. πλ. Lind., Mack. – πληρέα JK. – ἡμισυκοτύλια FJ. – ἥμισυ κοτύλια (sic) K. — [5] ἡμικότυλον FGIJK. – κιρνᾶς EJK, Ald., Frob. – κἀκ (ἕκτον pro κἀκ E, H al. manu κἀκ) τῶν (τῶν om. E, H restit. al. manu, θ) αὐτῶν (αὐτῶ Eθ; αὐτῶ H, al. manu αὐτῶν) vulg. – χρήσθω Hθ, Mack. – πουλὺν Lind. — [6] πράσῳ Ald. – ποιείτω E. – ἐν ἑπτὰ ἡμέρῃσι vulg. – ἑπτα ἡμέρας EHP'Q'θ, Lind., Mack. – μέν σοι vulg. – μέν οἱ EHIJKθ, Lind., Mack. — [7] εἰ E. – καὶ om. (H, restit. al. manu) Kθ, Mack. – ταύτας J. – ποιείτω E. — [8] περὶ K. – πίσαι θ. – πίσον vulg. – καθαρεῖται H. – καθαιρεῖται vulg. — [9] μὲν (μὴ pro μὲν θ, Codd. quidam ap. Foes in not., Mack) vulg. – ἢ EH. – ὀρὸν, al. manu ὀῤῥὸν H. – μεταπίσον EIJK, Ald.,

38. (*Ictère.*) Ictère : la couleur devient foncée au visage, mais surtout aux parties habituellement couvertes ; les yeux jaunissent ; la langue jaunit en dessous. Les veines sous la langue sont grosses et noires ; apyrexie ; urine épaisse, bilieuse. Les choses étant ainsi, on ouvrira d'abord les veines sous la langue ; puis, lavant avec beaucoup d'eau chaude, on donnera à boire à jeun la racine d'asphodèle, nettoyée, cuite dans du vin, à la dose de cinq racines, avec une poignée de feuilles de persil ; on versera, de vin doux, trois demi-cotyles d'Égine, et on réduira à une demi-cotyle (*cotyle* = 0litre,27) ; on donnera cette préparation par sixièmes. Quand l'urine flue, on usera d'aliments relâchants ; après les aliments, le malade mangera des pois chiches blancs, et boira du vin blanc, aqueux, en abondance ; il mangera, par-dessus les aliments, du persil et du poireau. Il suivra ce régime pendant sept jours. Si pendant ce temps sa couleur paraît se nettoyer, très-bien ; sinon, il prolongera ce régime de trois jours ; ce terme écoulé, mettant une interruption d'un jour ou deux, vous appliquerez un médicament aux narines ; puis vous ferez prendre un cholagogue qui évacue par le bas, et, si le malade ne souffre pas de la rate, prescrivez-lui du lait d'ânesse ou du petit-lait. Par ces moyens, il guérira.

39. (*Autre ictère.*) Autre ictère : une fièvre sourde s'établit, la tête devient pesante, et chez quelques-uns la fièvre cesse ; mais le malade jaunit, surtout aux yeux ; faiblesse, impuissance du corps, urine épaisse et jaune. Dans ce cas on lavera à l'eau chaude, et l'on donnera à boire des diurétiques. Quand le malade paraîtra nettoyé et que la couleur sera meilleure, introduisez un médicament dans les narines, et, après, faites boire un médicament qui évacue par le bas. User des aliments les

Frob. - ὑγιὴς γίνεται EHQ'θ, Lind., Mack. - ὑγιῆ ποιέεις vulg. — [10] ἄλλος E. - ἔτ. ἴκ. om. H. - ἔχει om., restit. al. manu H. - Post ἐπαύσαντο addunt οὖν EFGHIJK, Ald. — [11] ἀσθενείη EHIKL (θ, Mack, ἀσθενίη), Lind. - ἀσθενέει vulg. - ἀκρασίη E. — [12] θερμὸν E. - διουρητικὸν K. — [13] βελτίω H. - γένηται om. (H, restit. al. manu) θ. - μεταπίσον EH. - δὲ om. θ. - χρήσθω θ.

μετάπισον κάτω· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρῆσθαι· οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. Ταῦτα ποιέων ὑγιὴς γίνεται.

40. [1]Πυρετοὶ ἀπὸ χολῆς· ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθημέρην καὶ ἀφίει, ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης, καὶ τὸ στόμα πικρὸν, [2]καὶ ὅταν ἄσιτος ᾖ, λυπέει αὐτόν· ἐπὴν δὲ φάγῃ, πνίγεται, καὶ ὑπὸ ὀλίγων τινῶν ἐμπίπλαται, καὶ βδελύττεται, καὶ ἐμεσίαι μιν λαμβάνουσιν, καὶ ἐς τὴν ὀσφῦν βάρος ἐμπίπτει καὶ ἐς τὰ σκέλεα, καὶ [3]ὑπνώσσει πολλά. Τούτου, ἢν μετὰ τὸ πῦρ ἐξιδρῷ, καί οἱ ψυχρὸς καὶ πουλὺς ᾖ, καὶ τοῦ πυρετοῦ μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται· ἢν δὲ μὴ ἱδρῷ, θᾶσσον κρίνεται. Ὅταν οὕτως ἔχῃ, ἐπὴν γένηται [4]ἐνναταῖος, φάρμακον διδόναι· ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδῷς, ἐπὴν καθαρθῇ, ἐπανέλαβε πυρετὸς, καὶ αὖθις φαρμάκου δεῖται. Ἐπὴν δὲ τὸ μὲν στόμα [5]μὴ πονέῃ, ἐς δὲ τὴν νειαίρην γαστέρα στρόφος ἐμπίπτῃ, φάρμακον πῖσαι κάτω, καὶ μεταπῖσαι γάλα ὄνου ἢ ὀῤῥὸν ἢ τῶν χυλῶν τινά· ἢν δ' ἀσθενὴς [6]ἔῃ, ὑποκλύσαι. Πρὸ δὲ τοῦ φαρμάκου τῆς πόσιος, ἢν πυρεταίνῃ, ἕωθεν μὲν διδόναι μελίκρητον ὑδαρές· τὴν δὲ ἄλλην ἡμέρην [7]ἐφ' ἣν ὁ πυρετὸς ἔχει, ὕδωρ ὁπόσον ἂν θέλῃ διδόναι ψυχρὸν πίνειν· ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφᾶν διδόναι πτισάνης χυλὸν ἢ κέγχρον λεπτὸν, καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. Ἢν [8]δὲ ἔμπυρος ἔῃ καὶ μὴ ἀνίῃ μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης, ψαυόμενος δὲ ἢν τὰ μὲν ἄνω

[1] Π. ἀ. χ. om. Hθ. – περὶ τῶν ἀπὸ χολῆς γινομένων πυρετῶν EFGIJKL. — [2] καὶ om. E. – δὲ καὶ φάγῃ θ. – πνίγηται Lind. – ὑπ' EH. – ὀλίγω πίνων pro ὀλ. τινῶν θ. – σιτίων (σ. om., H restit. al. manu, θ) ἐμπίπλαται (ἐμπίμπλαται θ) vulg. – ὀσφὺν E, Ald., Frob., Mack. – ὀφρὺν EGIJKL. — [3] ὑπνώττει vulg. – ὑπνώσσει H, Mack. – πολλὰ om., al. manu πουλλὰ H. – πουλὰ G, Ald. – πουλλὰ EIJK, Frob. – τοῦτον vulg. – τούτῳ Lind. – τούτου θ, Mack. – ἢν μὲν μετὰ EH. – καί οἱ πουλλὺς (sic) ᾖ καὶ ψ. J. – πολὺς H. — [4] ἐνατ. H. – δοῦναι Hθ. – διδοῖς vulg. – Il faut lire διδῷς. – αὖτις, al. manu αὖθις H. — [5] πικρὸν ᾖ pro μὴ πονέῃ θ. – Il faudrait lire μὴ πικρὸν ᾖ, alors cela répondrait à στόμα ἐκπικρούμενον de l'aphorisme parallèle; avec la leçon de vulg., il faudra donner à στόμα le sens d'*orifice cardiaque*, et cela répondra dès lors à καρδιωγμὸς du même aphorisme. – πονῇ EH. – τὴν EHKL. – τὴν om. vulg. – νειέρην vulg. – νειαίρην E, Mack. – νειαρὴν (sic) Lind. – ἐμπίπτῃ IK. – ἐμπίπτει vulg. – πίσαι vulg. – μεταπίσαι vulg. – ὀρὸν, al. manu ὀῤῥὸν H. — [6] ᾖ EH. – τοῦ EHIJKL, Lind., Mack. – τοῦ om. vulg. – ὃς ἂν πυρεταίνῃ (πυρετήνῃ Lind.) vulg. – Cette tournure est insolite dans la Collection hippocratique. Je crois donc que ὃς provient de la finale de πόσιος et doit être effacé, et que ἂν est pour ἤν. – μὲν om. K. – δ' EH. — [7] ἐπὴν EHθ,

plus émollients; boire un vin blanc, doux, aqueux. Par ces moyens, la santé se rétablit.

40. (*Fièvres bilieuses.*) Fièvres de bile. Quand le patient est en proie à la bile, la fièvre le prend et le quitte chaque jour; elle le tient surtout dans le milieu de la journée. La bouche est amère. Quand il est à jeun, il souffre; quand il a mangé, il étouffe, et peu d'aliments suffisent pour le remplir. Il est dégoûté; des vomituritions le saisissent; de la pesanteur se fait sentir aux lombes et aux membres inférieurs; il a beaucoup de somnolence. Dans ce cas, une sueur venant après l'accès de fièvre, cette sueur étant froide et abondante, et la fièvre ne cessant pas, la maladie devient chronique (Aph. IV, 37; Coaque, 562). S'il n'y a pas de sueur, la crise est plus prompte. Les choses étant ainsi, quand le malade est au neuvième jour, on donnera un évacuant; en effet, si vous le donnez dès le début de la fièvre, la fièvre reprend après l'évacuation, et il est de nouveau besoin d'évacuant. Si l'orifice cardiaque n'est pas douloureux, mais qu'il y ait des tranchées dans le bas-ventre, on fera boire un médicament qui évacue par le bas (Aph. IV, 17 et 20), et prendre ensuite du lait d'ânesse ou du petit-lait ou quelqu'une des décoctions [de céréales]. Si le malade est faible, on se contentera de clystères. Avant de boire l'évacuant, le malade, s'il a de la fièvre, prendra, le matin, du mélicrat étendu d'eau; pendant le reste de la journée où la fièvre le tient, de l'eau froide tant qu'il voudra. Quand la fièvre sera tombée, il aura pour potage de la décoction d'orge ou du panic léger; par dessus il boira un vin blanc, généreux, coupé d'eau. S'il est fébricitant, et qu'il n'y ait de rémission ni la nuit ni le jour, mais qu'au toucher on lui trouve les parties supé-

Lind., Mack. – ἔχῃ Hθ, Mack. – ὕδωρ ὅ. ἂν θέλῃ om. θ. – ἂν om. J. – ἐθέλει J. – ῥυφᾶν GIJK, Ald. – ῥυμφᾶν E. – πτισσ. E, Ald., Frob. – πίνειν K. – ὀσμώδεα pro οἰνώδεα legit Charterius ex Cornar. — [8] δ' E. – ἐμπύρετος EFGHIJ KP'Q'. – ἦ EH. – εἴη J. – ἀνίη EHθ. – ἀνῇ vulg. – μὲν τὰ vulg. – τὰ μὲν EHQ', Lind., Mack. – ἄνω EHQ', Lind. – ἄνωθεν vulg. – ἔχῃ (ἔχῃ om., restit. al. manu H) θερμὰ vulg. – Ante ἡ addit καὶ H. – δὲ καὶ om., restit. al. manu H. – εἰσὶ (εἰσὶ om., restit. al. manu H) ψυχροὶ vulg.

θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες ψυχροὶ καὶ ἡ γλῶσσα [1]τρηχείη, τούτῳ μὴ δῷς φάρμακον, ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα, τὸν [2]δὲ ἄλλον χρόνον πίνειν ὕδωρ ὡς ψυχρότατον. Οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ καὶ τὸ πῦρ αὐτὸν μεθῇ· ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαιταῖος ἀποθνήσκει ὡς τὰ πολλά.

41. [3]Ἄλλος πυρετός· ἔξωθεν ἀφασσόμενος ἐστὶ βληχρὸς, ἔσωθεν δὲ καίεται, καὶ ἡ γλῶσσα αὐτοῦ τρηχείη, καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ [4]τοῦ στόματος θερμόν· ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρὰ, καὶ ὀδύνη ἔνεστι, καὶ ἡ χροιὴ οἷον ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται, καὶ οὐρέει παχὺ [5]καὶ χολῶδες. Τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα ῥῖγος λάβῃ καὶ πυρετὸς ἰσχυρὸς καὶ ἐξιδρώσῃ· [6]ἢν δὲ μὴ, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐνναταῖος· λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται, αὕτη ἡ νοῦσος. Ὅταν οὕτως ἔχῃ, λούειν [7]θερμῷ ἑκάστης ἡμέρης, καὶ πίνειν διδόναι μελίκρητον ὑδαρὲς πολλὸν, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης· ἐπὶ δὲ τῷ ῥοφήματι πίνειν οἶνον ὑδαρέα, λευκὸν, ὀλίγον· ἢν [8]δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι, ἢ βάλανον προσθεῖναι· σιτίον δὲ μὴ προσφέρειν, [9]ἕως ἂν ὁ πυρετὸς ἀνῇ· ἐπὴν δὲ παύσηται, φάρμακον πῖσαι κάτω· ὑποστρέφει γὰρ ἔστιν ὅτε ἡ νοῦσος, ἢν ἀκάθαρτος διαφέρηται. [10]Ἡ νοῦσος αὕτη λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα.

42. [11]Ἢν τριταῖος πυρετὸς ἔχῃ· ἢν μὲν οὖν μὴ παρεὶς τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πῖσαι κάτω· ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν ὅσον ὀξύβαφον ἐν ὕδατι, δοῦναι πιεῖν. Ἢν δὲ [12]μηδὲ ἐν τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ

[1] Τραχ. E. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. – ὑδαρέα οἶνον EH. — [2] δ' EH. – πίνειν om. (H, restit. al. manu) θ. — [3] ἕτερος K. – ἄλ. π. om. θ. – αὐτοῦ om., restit. al. manu H. – πνέει Lind., Mack. — [4] καὶ διὰ τοῦ EFGHK. – ἔνεστι EFGHIJL, Mack. – ἔστι vulg. — [5] καὶ om. θ. – Forte θολῶδες L. — [6] εἰ EH. – ἐναταῖος G. – ἀχμηρὸν (sic) I. — [7] θερμὸν J. – ἡμέρας J. – ῥυμφάνειν EHIJK, Ald. – πτισσ. E. – ῥυφήματι EGHIJK, Ald. — [8] δ' EH. — [9] ἔστ' EH. – ἐπὴν EHQ'θ, Lind., Mack. – ἐπὰν vulg. – πίσαι vulg. – ὑποστρέφειν G, Ald. – ἔσθ' ὅτε J. – ἔνεστιν E (H, al. manu). — [10] Ante ἡ addunt ἕτερος (E, ἕτ. πυρετὸς) FG, Ald.; ἄλλος πυρετὸς P'. – ἡ δὲ ν. θ, Lind., Mack. – αὕτη (αὕτη om., H restit. al. manu, θ) πάλιν (π. om. E, H restit. al. manu, Lind., Mack) λαμβάνει vulg. – σῶμα pro αἷμα θ. — [11] Ante ἢν addunt ἕτερος πυρετὸς θ, Mack (Lind., ἄλλος π.). – οὖν om. (E, restit. al. manu) Hθ. – μὴ om. EH. – πίσαι vulg. — [12] μηδ' Lind. – ἐν om. Hθ, Mack. – πίσαι vulg. – ὁποῦ K.

rieures chaudes, le ventre et les pieds froids et la langue rugueuse, on ne lui donnera pas d'évacuant, mais il prendra un clystère émollient ; on lui donnera en potage de la décoction d'orge, froide, deux fois par jour ; par dessus il boira du vin étendu d'eau ; le reste du temps, de l'eau aussi froide que possible. La sueur survient-elle au septième jour et la fièvre tombe-t-elle? très-bien; sinon, il meurt d'ordinaire au quatorzième jour.

41. (*Fièvre bilieuse avec affection des hypochondres.*) Autre fièvre : à l'extérieur, au contact, la chaleur est médiocre ; mais à l'intérieur le malade est brûlant ; la langue est rugueuse, l'air expiré par les narines et par la bouche est chaud ; au cinquième jour, les hypochondres deviennent durs, il y a douleur, et la couleur est celle d'un ictérique ; l'urine est épaisse et bilieuse. En ce cas, si au septième jour surviennent frisson, fièvre intense et sueur, très-bien (Aph. IV, 58); sinon, il meurt au septième jour ou au neuvième. Cette maladie prend surtout quand l'année n'est pas sèche. Les choses étant ainsi, on lavera avec de l'eau chaude tous les jours ; on donnera du mélicrat étendu d'eau, en abondance ; pour potage, la décoction d'orge, froide, deux fois par jour ; par dessus le potage, du vin blanc, étendu d'eau, en petite quantité. Si le ventre n'est pas libre, prescrivez un lavement ou un suppositoire ; ne donnez pas d'aliment jusqu'à la chute de la fièvre. Quand elle est tombée, faites boire un médicament qui évacue par le bas ; car il arrive parfois que la maladie récidive quand il reste des impuretés dans le corps. Cette maladie se déclare quand le sang a un excès de bile.

42. (*Fièvre tierce.*) Fièvre tierce : si après trois accès consécutifs le quatrième survient, faites prendre un médicament qui évacue par le bas. Dans le cas où l'évacuation ne paraît pas nécessaire, pilez un oxybaphe (0^litre,068) de racines de quintefeuille dans de l'eau, et faites boire cette préparation. Cela

-ἰσοκρατέει vulg. - Lisez ἰσοκρατέϊ. Schneider, dans son Dict., remarque qu'il faut peut-être lire ἰσοκραέϊ. - ἐπιβαλλέειν (sic) J. - πολλὰ EHθ, Ald., Mack. - πολλὰ om. vulg. - ἕως ἂν L, Lind. - ἱδρώσει J.

θερμῷ, πῖσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατεῖ, καὶ κατακλίνας ἐπιβαλέειν ἱμάτια πολλὰ ἕως ἱδρώσῃ· ἐπὴν [1] δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ· ἐς ἑσπέρην [2] δὲ κέγχρον ἑψήσας λεπτὸν, ῥοφησάτω, καὶ οἶνον ἐπιπινέτω· ἕως δ' ἂν διαλείπῃ, [3] σιτίοισιν ὡς μαλθακωτάτοισι χρήσθω.

43. [4] Πυρετὸς τεταρταῖος· τεταρταῖος πυρετὸς ὅταν ἔχῃ, ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, φάρμακον πῖσαι κάτω· [5] ἔπειτα τὴν κεφαλὴν καθῆραι, ἔπειτα φάρμακον πῖσαι κάτω· ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, διαλείπων δύο λήψιας μετὰ τὴν κάτω κάθαρσιν, λούσας αὐτὸν πολλῷ θερμῷ, [6] πῖσον τοῦ καρποῦ [7] τοῦ ὑοσκυάμου ὅσον κέγχρον, καὶ μανδραγόρου ἴσον, καὶ ὀποῦ τρεῖς κυάμους, καὶ τριφύλλου ἴσον, ἐν οἴνῳ ἀκρήτῳ πιέειν. Ἢν [8] δὲ ἐῤῥωμένος καὶ ὑγιαίνειν δοκέων, ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας, καταστῇ αὐτῷ ἐς τεταρταῖον, πυριήσας αὐτὸν, σκόροδα [9] δίδου ἐς μέλι βάπτων· ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας· ἐπὴν δ' ἐμπλησθῇ, ἐμεσάτω· ἔπειτα λουσάμενος θερμῷ, ἐπὴν ψυχθῇ, πιέτω κυκεῶνα [10] ἐφ' ὕδατι· ἑσπέρης δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω· τῇ [11] δὲ ἑτέρῃ λήψει λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν ἕως ἐξιδρώσῃ, πῖσαι παραχρῆμα λευκοῦ ἐλλεβόρου τῶν ῥιζέων [12] ὅσον τριῶν δακτύλων μῆκος, καὶ τοῦ τριφύλλου ὅσον δραχμὴν μέγεθος, καὶ ὀποῦ δύο κυάμους, ἐν οἴνῳ ἀκρήτῳ· καὶ ἢν ἐμεσίαι [13] μιν ἔχωσιν, ἐμεσάτω· ἢν δὲ μὴ, ὁμοίως, μετὰ [14] δὲ τὸ καθῆραι τὴν κεφαλήν· σιτίοισι [15] δὲ χρήσθω ὡς μαλθακωτάτοισιν· ὅταν δὲ ἡ λῆψίς μιν ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω.

[1] Δ' EHJ. – ἢν διψῇ om. θ. – καὶ om. GIJ. – ἐς om. EGHJK, Ald. — [2] δὲ καὶ (καὶ om. EHIKLθ, Lind., Mack) vulg. – ῥυφησάτω GHIJK, Ald. – ῥυμφησάτω E. – ἐπιπιέτω Hθ. – πιέτω J. — [3] καὶ (καὶ om. EHθ, Mack) σιτίοις (σιτίοισιν E IJKθ, Mack) vulg. — [4] π. τ. om. Hθ. – τετ. πυρ. IK. – περὶ τεταρταίου πυρετοῦ E (J, sine πυρετοῦ). – λάβησι θ, Mack. – πίσαι vulg. — [5] ἔπειτα.... κάτω om., restit. al. manu cum καθήρας E. – πίσαι vulg. – λοῦσαι FG, Ald. — [6] πίσον vulg. — [7] τοῦ om. H. – μανδραγούρου E. – τριφίλου I. – ποιέειν HI. — [8] δ' EH. – πυρετείνας Ald. — [9] διδόναι EHP'Q', Lind., Mack. – δοῦναι θ. – δὲ πλησθῇ vulg. – δ' ἐμπλησθῇ EHθ, Mack. – τ' ἐμεσάτω K. — [10] ἐν J. – ἑσπέρην Lind. – ἐς ἑσπέρην EHQ'θ, Mack. — [11] δ' EH. – πολλῷ om. (H, al. manu καὶ πολλῶ) θ. – καὶ πολλῶ GIK, Ald. – πολλῶ καὶ θερμῶ J. – πίσαι vulg. – ἐλεβ. H, Lind. – ῥιζῶν E. — [12] ὅσον.... τριφύλλου om., restit. al. manu E. – δραχμῆς EKP'Q'θ, Lind., Mack. — [13] μῖν I, Ald. — [14] δὲ EHθ. – δὲ om. vulg. – τὴν κεφ. καθ. EH (θ, sine τό). — [15] δὴ E, Mack. – μαλθ. (δὴ Q') καὶ δριμυτάτοισιν (δρυμυτάτοισιν K) (καὶ δρ. om. FG, Ald.) vulg. – ἐὼν om. θ, Mack.

même échouant, lavez le patient avec beaucoup d'eau chaude, faites boire le trèfle (*psoralea bituminosa*, L. d'après Fraas), et du suc de silphion dans du vin coupé d'eau par moitié ; et, couchant le malade, mettez, par-dessus, beaucoup de couvertures jusqu'à ce qu'il sue. Après la sueur, s'il a soif, faites boire de la farine et de l'eau. Pour le soir, on fera cuire du panic léger, on le lui donnera en potage, et par dessus il boira du vin. Jusqu'à la fin, il usera des aliments les plus émollients.

43. (*Fièvre quarte.*) Fièvre quarte : en cas de fièvre quarte, si elle succède à une autre maladie dans un corps qui a gardé des impuretés, on fera boire un médicament qui évacue par le bas ; puis on purgera la tête ; ensuite on reviendra à l'évacuation par le bas. Si, malgré ces moyens, la fièvre ne cesse pas, vous laisserez passer deux accès après l'évacuation par le bas ; alors, ayant lavé le malade avec beaucoup d'eau chaude, faites boire du fruit de la jusquiame gros comme un grain de panic, autant de mandragore, du suc de silphion au poids de trois fèves, autant de trèfle, le tout bu dans du vin pur. Si le sujet, vigoureux et paraissant en santé, étant pris de fièvre à la suite d'une fatigue ou d'une marche, tombe de là en fièvre quarte, donnez-lui un bain de vapeur, faites-lui manger de l'ail trempé dans le miel ; puis il boira par dessus une décoction de lentilles où on aura mêlé du miel et du vinaigre. Ainsi rempli, il vomira. Alors il se lavera à l'eau chaude, et, étant refroidi, il prendra un cycéon (*sorte de bouillie*) à l'eau. Le soir il usera d'aliments émollients, en quantité médiocre. A l'accès suivant, on le lavera avec beaucoup d'eau chaude, on lui mettra des couvertures jusqu'à ce qu'il sue, et aussitôt on lui fera boire des racines d'ellébore blanc de la longueur de trois doigts, une drachme de trèfle, deux fèves, en poids, de suc de silphion, le tout dans du vin pur. S'il a des vomituritions, qu'il vomisse ; s'il n'en a pas, qu'il vomisse encore, mais après avoir eu la tête purgée. Il usera des aliments les plus émollients ; quand il est dans l'accès, il aura soin de ne pas prendre à jeun le médicament.

44. [1]Πλευρῖτις· πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει, καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος, [2]καὶ ὀρθοπνοίη, καὶ βὴξ, καὶ τὸ σίαλον λεπτὸν καὶ ὑπόχολον, καὶ ἀποβήσσεται οὐ ῥηϊδίως, καὶ διὰ τῶν βουβώνων ὀδύνη, καὶ οὐρέει αἱματῶδες. Ὅταν οὕτως ἔχῃ, ἢν μὲν τὸ πῦρ ἀνῇ ἑβδομαῖον ἐόντα, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ἀνῇ, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἕνδεκα ἡμέρας ἢ [3]τὰς τεσσαρεσκαίδεκα· οἱ μὲν οὖν πολλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται· ἢν δὲ ὑπερβάλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. Ὅταν οὕτως [4]ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι· πινέτω δὲ [5]μέλι, ἀναζέσας, ἐπιχέας ὄξος ἴσον τῷ μέτρῳ τοῦ μέλιτος, [6]ἔπειτα ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξους, ἐπιχέας ὕδατος ἑνὸς δέοντος εἴκοσι, τοῦτο διδόναι πίνειν κατ' ὀλίγον πυκνὰ, καὶ μεταμίσγειν ὕδωρ, ὄξος ὀλίγον παραχέων· [7]ῥοφεέτω δὲ καὶ κέγχρου χυλὸν, μέλι ὀλίγον παραστάζων, ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης ἐφ' ἑκατέρῳ σιτίῳ, [8]καὶ πινέτω οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα, ὀλίγον· ὁ δὲ οἶνος ἔστω ὡς μαλθακώτατος [9]ὀδμὴν μὴ ἔχων. Ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφεέτω δὶς τῆς [10]ἡμέρης, καὶ τεῦτλα ἡδύτατα ἐσθιέτω· ἔπειτα μετὰ ταῦτα σκύλακα ἢ ὀρνίθιον κάθεφθον ποιήσας, τοῦ ζωμοῦ ῥοφεέτω, καὶ τῶν κρεῶν φαγέτω ὀλίγα· τὸν δὲ λοιπὸν χρόνον μάλιστα ὅσον ὑπὸ τῆς νούσου [11]ἔχοιτο, ἀριστιζέσθω μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν.

45. [12]Ἑτέρη πλευρῖτις· πυρετὸς ἔχει καὶ βὴξ καὶ ῥῖγος καὶ ὀδύνη ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα ἐνίοτε, καὶ τὸ [13]σίελον πτύει ὑπό-

[1] Πλ. om. H. – πλευρίτις (bis) K. – πλευρίτις νοῦσος G. – περὶ πλευρίτιδος EJLθ. — [2] καὶ βὴξ καὶ ὀρθ. J. – λευκὸν vulg. – Je lis λεπτόν ; cette confusion est fréquente. – ἀποβήσεται G, Ald. – οὐρέῃ vulg. – οὐρέει EGHIJθ, Lind., Mack. – ἐόντα H. – ὄντα vulg. – εἰς K. — [3] τὰς om. E. – τεσσαρασκαίδεκα vulg. – τεσσαρεσκαίδεκα G, Lind., Mack. – οἳ Lind. – πουλλοὶ G, Ald., Frob., Mack. – ὑπερβάλῃ IK. – ὑπερβάλλῃ vulg. — [4] ἔχῃ ἡ ὀδ. J. — [5] δὲ καὶ (καὶ om., restit. al. manu H) μέλι ἀναζέσας αὐτὸ καὶ (αὐτὸ καὶ om., restit. al. manu H) ἐπιχέας vulg. – τὸ μέτρον J. – μέτρῳ τοῦ om., restit. al. manu H. — [6] ἔπειτα.... μέλιτος om., restit. al. manu E. – ὁκόσον Mack. – ἐπιχέας E. – ἐπιχέαι vulg. – δέοντα (E, al. manu ος) L, Lind. – τῶν (τῶν om., restit. al. manu H) εἴκοσι vulg. – μεταμίγειν (sic) E. — [7] ῥυφεέτω GHIK, Ald. – ῥυμφεέτω EJ. — [8] πινέτω δὲ pro καὶ πινέτω θ, Mack. — [9] ὀδύνην Lind. – δ' EH. – ῥυφεέτω GHK, Ald. – ῥυμφεέτω EJ. — [10] ἡμέρας vulg. – ἡμέρης HJ. – μετὰ τ. om. K, Lind. – ὀρνίθιον Lθ, Lind., Mack. – ὄρνιθα vulg. – καθεπτὸν (E, al. manu καθεφθὸν) FGHK, Ald. – ῥυφεέτω GHIJK, Ald. – ῥυμφεέτω EP'.

44. (*Pleurésie.*) Pleurésie : quand la pleurésie attaque, il y a frisson et fièvre, douleur traversant le rachis et allant à la poitrine, orthopnée, toux ; l'expectoration est ténue et subbilieuse. Le patient n'expectore pas facilement. De la douleur se fait sentir à travers les aines, et l'urine devient sanguinolente. Les choses étant ainsi, si le septième jour la fièvre tombe, le malade guérit. Si elle ne tombe pas, la maladie va jusqu'au onzième ou au quatorzième. Or, beaucoup meurent dans cet intervalle. Si on passe le quatorzième, on réchappe. Quand la douleur est ainsi, on fait des applications chaudes ; le malade boit du miel bouilli, où l'on a versé une quantité égale de vinaigre ; puis, mesurant ce qu'il reste du miel cuit et du vinaigre, on y verse dix-neuf parties d'eau. On donne à boire cette préparation peu à la fois et souvent ; et on y mêle de l'eau, avec addition d'un peu de vinaigre. Pour potage, le malade prendra de la décoction de panic froide, avec addition d'un peu de miel, à la dose d'un quart de cotyle après le repas du matin et celui du soir ; et il boira du vin blanc, généreux, étendu d'eau, en petite quantité ; le vin sera aussi émollient que possible et n'aura pas de bouquet. Quand la fièvre est tombée, il prendra, pendant deux jours, pour potage le panic deux fois par jour et mangera des bettes très-bien accommodées; puis on fera bien cuire un jeune chien ou une volaille, pour potage il prendra le bouillon, et pour aliment un peu de la viande. Pendant tout le reste du temps que durera la maladie, il prendra au déjeuner du panic, et le soir le moins d'aliments qu'il pourra et les plus émollients.

45. (*Autre pleurésie.*) Autre pleurésie : il y a fièvre, toux, frisson, douleur au côté et parfois à la clavicule. L'expectoration est subbilieuse, sanguinolente quand le patient se trouve

— [11] εἴχετο vulg. – ἔχοιτο EQ', Mack. – ἔχηται θ. – εἴχεται (sic) K. – ἔσχοιτο Lind. – ἀρισταζέτω EP'Q'. – ἀρισταέτω Lind. – ἀριστιζέσθω θ, Mack. – ἀρισταζέσθω vulg. – μὲν om. K. – ἑσπέρη sine ἐς J. – καὶ om. FGIJK. — [12] ἑτέρα EJK. – πλευρῖτις ubique K. — [13] σίελον J. – σίαλον vulg. – τύχης EFGHJK, Ald.

χολον καὶ ὕφαιμον, ὅταν τύχῃ ῥηγματίας ὤν. Τούτῳ ᾗ ἂν ὀδύνη ἔχῃ μάλιστα, προστιθέναι χλιάσματα, καὶ λούειν θερμῷ, ἢν [1] μὴ ὁ πυρετὸς πουλὺς ἔχῃ· ἢν δὲ μὴ, μή· πίνειν δὲ διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ἄρτι ὑπόγλυκυ ποιέων, καὶ μεταμίσγειν ὕδωρ, [2] ῥοφάνειν δὲ τὸν χυλὸν τοῦ κέγχρου δὶς τῆς ἡμέρης, καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα, καὶ ἢν ὑπερφύγῃ τὰς τεσσαρεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται.

46. [3] Ἄλλη πλευρῖτις· πυρετὸς ἴσχει καὶ [4] βρυγμὸς καὶ βὴξ ξηρὴ, καὶ ἐκβήσσεται χλωρὰ, ἔστι δ' ὅτε [5] καὶ πελιδνὰ, καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει, καὶ τὸ μετάφρενον ὑπέρυθρον γίνεται, χλιαίνεται δὲ τὴν κεφαλὴν καὶ τὰ στήθεα, [6] ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα, καὶ ἀνακαθήμενος μᾶλλον βήσσει, καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὸ ἀποπάτημα [7] πάνυ χλωρὸν καὶ κάκοδμον. Οὗτος ἐν εἴκοσιν ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. Τούτῳ, ἔστ' ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν τὸ ἀπὸ τοῦ κρίμνου, καὶ [8] μεταπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα· ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης· ἀντὶ δὲ τοῦ μέλιτος ὑπὸ τὸν χυλὸν [9] μίσγειν ῥοιῆς χυλὸν οἰνώδεος, ὅταν ἤδη ὁ χυλὸς ἑφθὸς ᾖ, καὶ λούειν μὴ πολλῷ· ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἔπειτα ἀριστιζέσθω τὸν κέγχρον, ἐς ἑσπέρην δὲ [10] τοῖσι κρέασι τοῖσιν ὀρνιθίοισι καὶ τῷ ζωμῷ καὶ σιτίοισιν ὀλίγοισι χρήσθω. Τὴν δὲ τοιαύτην νοῦσον ὀλίγοι ἐκφυγγάνουσιν.

47. [11] Περιπλευμονίη· πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον· τὸ δὲ μακρότατον δύο δεούσας εἴκοσι, καὶ βήσσει ταύτας τὰς ἡμέρας ἰσχυρῶς, καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον σίαλον παχὺ καὶ καθαρὸν ἑβδόμῃ καὶ ὀγδόῃ, ἐπὴν [12] δὲ ὁ πυρετὸς λάβῃ, ἐννάτῃ καὶ δεκάτῃ ὑπόγλυκυ καὶ πυῶδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι

[1] Μὴ (addunt ὁ GJθ, Mack) π. αὐτὸν (αὐτὸν om., H restit. al. manu, θ, Mack) πολὺς (πουλὺς Eθ, Lind., Mack) ἔχῃ (ἔχοι H) vulg. — [2] ῥυμφάνειν EGHIJK, Ald. – τὰς om. (H, restit. al. manu) θ. — [3] ἑτέρα K. — [4] βρηγμὸς JK. – ἐκβήσεται G. — [5] καὶ om. (H, restit. al. manu) θ. — [6] τότε HP'θ. – τοτὲ E. — [7] πάνυ om. (H, restit. al. manu) θ. – ἡμέραις vulg. – ἡμέρῃσιν EHIJKLθ, Lind., Mack. – τοῦτον vulg. – τούτῳ θ, Lind., Mack. – κρήμνου HK, Ald. — [8] μετ. om. L. – μετ' pro μεταπ. J. – μεταμίσγειν Hθ. – μεταφλέγειν (sic) K. – ῥυφέειν GHIK, Ald. – ῥυμφέειν E. – ῥυφαίνειν J. – πτισσ. E. — [9] ὑπομίσγειν θ. – ῥυῆς GHI, Ald. – οἰνώδεος HKθ. – οἰνώδεα vulg. – ἀριστιζέτω Lind. — [10] τ. κρ. om. Lind. – Post ὀρνιθ. addunt ὀλίγοισι IJK. – καὶ τοῖσι (τοῖσι om. θ) σιτίοισι vulg. – ὀλίγοισι om. FGIK. – τοιαύτην om. (H, restit. al. manu)

avoir une rupture (*Voy. t. V, p.* 579). En ce cas, on fera, là où la douleur est le plus vive, des applications chaudes; on lavera à l'eau chaude, si la fièvre n'est pas intense; si elle l'est, on s'en abstiendra. On prendra un rayon de miel, on le macérera dans de l'eau, de manière que cela soit très-doux, on y mêlera de l'eau, et on le fera boire. Pour potage, le malade prendra de la décoction de panic deux fois par jour; par dessus il boira du vin blanc coupé d'eau. S'il passe les quatorze jours, il guérit.

46. (*Autre pleurésie.*) Autre pleurésie : il y a fièvre, grincement de dents, toux sèche; l'expectoration est jaune, quelquefois livide. Le côté est douloureux; le dos devient un peu rouge. La tête et la poitrine s'échauffent, parfois aussi le ventre, les pieds et les jambes. Sur son séant, le malade tousse davantage. Le ventre se dérange; les déjections sont très-jaunes et fétides. Un tel malade succombe en vingt jours; s'il les passe, il guérit. Il faut, jusqu'à ce que quatorze jours soient passés, donner à boire de l'eau de farine d'orge, et, par dessus, boire un vin blanc, généreux, coupé d'eau. Pour potage, le malade prendra la décoction d'orge, froide, deux fois par jour. Au lieu de miel, il mêlera à cette décoction le jus d'une grenade vineuse, quand la décoction est déjà faite. On le lavera avec une médiocre quantité d'eau. Quand quatorze jours seront passés, il prendra, au déjeuner, du panic; le soir, de la volaille, du bouillon et quelques aliments. Peu échappent à cette maladie.

47. (*Péripneumonie; abcès du poumon; pus dans la poitrine; paracentèse.*) Péripneumonie : la fièvre dure quatorze jours au moins, dix-huit au plus. Pendant tout ce temps, le malade tousse beaucoup. D'abord il expectore des matières épaisses et non mélangées le septième et le huitième à dater du début de la fièvre, douceâtres et purulentes le neuvième et le dixième, jusqu'à ce que les quatorze jours soient passés. Si le quinzième le poumon se sèche et que l'expectoration s'épuise, le malade guérit. Si-

θ. — [11] περὶ περιπνευμονίης G (H, περιπλ.) IK. — [12] δ' EH. – Il faut ou supprimer δὲ, ou le prendre pour δή. – ἐνάτη HK. – πιῶδες Q'.

παρέλθωσιν· καὶ ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ [1]ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων καὶ ἐκϐήξῃ, ὑγιάζεται· ἢν δὲ μὴ, δύο δεούσαις εἴκοσι προσέχειν· καὶ ἢν μὲν ἐν ταύτῃσι παύσηται τοῦ βήγματος, ἐκφεύγει· ἢν δὲ μὴ παύηται, εἴρεσθαι [2]αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον, καὶ ἢν φῇ, ἡ νοῦσος ἐνιαυσίη γίνεται· ὁ γὰρ πλεύμων ἔμπυος γίνεται. Τούτῳ χρὴ τὰς μὲν πρώτας ἡμέρας οἶνον διδόναι γλυκὺν, λευκὸν, ὑδαρέα, κατ' ὀλίγον πίνειν [3]πυκινά· ῥοφάνειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι παραμίσγων, τρὶς τῆς ἡμέρης, ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι καὶ ὁ πυρετὸς παύσηται. Κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτὰ ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα· ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας [4]ὑπερϐάλῃ, οὐκ ἔτι ἀποθνήσκει, ἀλλὰ πτύει πῦον, καὶ τὰ στήθεα πονέει, καὶ βήσσει. Ὅταν οὕτως ἔχῃ, πιπίσκειν νῆστιν τὸ σὺν τῷ ἐλελισφάκῳ, καὶ [5]ῥοφάνειν ἔτνος, στέαρ συμμίσγων πλέον, ἢν μὴ θάλπος ᾖ· ἢν δ' ᾖ, μὴ [6]ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι καὶ τοῖσι θαλασσίοισι μᾶλλον ἢ κρέασι· καὶ ἢν [7]μή σοι δοκέῃ καθαίρεσθαι κατὰ λόγον, ἐγχεῖν καὶ πυριᾷν· [8]ἢν μὲν παχὺ ᾖ τὸ πῦον, πυριᾷν· ἢν δὲ λεπτὸν, ἐγχεῖν· καὶ [9]τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα, καὶ τῶν δριμέων ἀπέχεσθαι καὶ κρεῶν βοείων καὶ οἰείων καὶ χοιρείων. [10]Ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει καὶ βὴξ ξηρὴ καὶ δυσπνοίη, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. Τοῦτον, [11]ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, λούσας πολλῷ θερμῷ, [12]τρίψας ἄρου ῥίζαν, ὅσον ἀστράγαλον μέγεθος, καὶ ἅλὸς χόνδρον, καὶ μέλι καὶ ὕδωρ, καὶ ἄλειφα ὀλίγον, ἐξειρύσας τὴν γλῶσσαν, ἐγχέαι χλιαρόν· ἔπειτα κινῆσαι τὸν ὦμον, [13]καὶ

[1] Ἡμέρα J. – πνεύμων EGHJK. – βρήγματος Lind. – Gal. Gl. : βρῆγμα, τὸ μετὰ βηχὸς ἀναπτυόμενον, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι· καὶ βρήσσειν, τὸ μετὰ βηχὸς ἀναπτύειν· ἔνιοι δὲ ταῦτα χωρὶς τοῦ ρ γράφουσιν. — [2] αὐτὸν om. (H, restit. al. manu) θ. – γλυκύτερον αὐτῷ δοκέει (αὐτῷ δ. om., H restit. al. manu, θ) τὸ vulg. – ἐνιαυσιαίη EP'Q'. – πν. EGJK. – εὔπυος (sic) IJ. — [3] πυκνὰ E, Lind. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. — [4] ὑπερϐάλλῃ vulg. – ὑπερϐάλῃ EHIJK. – νῆστιν ponit post ἐλελισφάκῳ H. – οἶνον ξὺν τῷ ἐλείῳ φακῷ pro νῆστιν.... ἐλελισφάκῳ Lind. – ἐλεσφάκω GJ. – ἐλισφάκω, emend. al. manu H. – φακῷ legendum censet Foes in not. — [5] ῥυμφάνειν EGHIJK, Ald. – συσμίγων G, Ald. — [6] ῥυφανέτω FGIKL. – ῥυμφανέτω EH, Ald. — [7] μὴ θ, Mack. – μὴ om. vulg. — [8] ἢν.... πυριᾷν om. FGIJK. — [9] τῶν om. J. – δρυμέων J. – ὑείων (H, al. manu οἰ) JK. – χορείων Lind. — [10] Ante ὅταν addunt ἔμπυος ἀπὸ περιπνευμονίης E (Lind., Mack, ἐκ);

non, il faut faire attention aux dix-huit; cesse-t-il, dans ce terme, de tousser? il réchappe. Dans le cas contraire, on lui demandera si l'expectoration a une saveur plus douce; répond-il affirmativement? il en a pour un an; en effet le poumon devient empyématique. A ce malade, les premiers jours, on donnera un vin doux, blanc, coupé d'eau, à boire peu à la fois et souvent. Pour potage il aura la décoction d'orge avec miel, trois fois dans la journée, jusqu'à ce que les dix-huit jours soient passés et que la fièvre ait cessé. Le danger est le plus grand aux sept jours ou aux quatorze. Quand il a passé les dix-huit, il ne meurt pas encore, mais il crache du pus, il souffre dans la poitrine, et il tousse. Les choses étant ainsi, on lui fera boire à jeun la préparation avec la sauge, et pour potage une purée où l'on mélangera beaucoup de graisse, s'il ne fait pas chaud; s'il fait chaud, il ne prendra pas ce potage, mais il usera d'aliments salés et gras, venant plutôt des poissons de mer que des animaux terrestres. Si la poitrine ne paraît pas se nettoyer convenablement, il faut infuser (*Voy.* Argument, *p.* 5) et donner des bains de vapeur; le pus est-il épais? on donnera le bain de vapeur; est-il ténu? on infusera. Le malade mangera autant que possible; il s'abstiendra des choses âcres, du bœuf, du mouton et du porc. Quand à la suite de la péripneumonie un abcès se forme, il y a fièvre, toux sèche, dyspnée; les pieds enflent, les ongles des mains et des pieds se rétractent. Les choses étant ainsi, au dixième jour du début de la formation de l'abcès, lavez le malade avec beaucoup d'eau chaude, puis pilez de la racine d'arum gros comme un osselet, un grain de sel, du miel, de l'eau, un peu de graisse; faites tirer la langue, et infusez chaud. Ensuite secouez l'épaule. Si par

ἄλλη K; ἄλλη περιπνευμονία L. – περιπν. EGK. – ἔμπυος γ. om. θ. — [11] ὅ. οὔ. ἔ. om., restit. al. manu H. – οὕτως om. K. – ἐφ' ἧς θ. — [12] [καὶ] τρέψας (sic) Lind. – μέλι ὀλίγον (ὀλίγον om., E restit. al. manu, GHIJK) vulg. – ἄλειφαρ Eθ, Lind. – ἄλειφα στέαρ, μύρον, χρίσμα, ἔλαιον in marg. H. – γλῶτταν (γλώτταν J) vulg. – γλῶσσαν EH, Lind., Mack. – κινῆσαι.... ποιῆσαι om., restit. al. manu E. — [13] καὶ om. FGHJKθ, Ald. – Post μὲν addunt τοι FGHJK, Ald. – πύος K.

ἢν μὲν ὑπὸ τούτου τὸ πῦον ῥαγῇ· εἰ δὲ μὴ, ἕτερον ποιῆσαι·[1] σίδια δριμέα ἐκχυμώσας καὶ κυκλάμινον, ὅσον ὀξύβαφον τῶν σμικρῶν ἑκατέρου ἔστω, ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον, διεῖναι, καὶ συμμῖξαι γάλακτος ὅσον ὀξύβαφον αἴγειον ἢ ὄνειον, τοῦτο χλιαρὸν ἐγχεῖν· ἢν [2]δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφάνου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους τρίψας λεῖον, διπλάσιον [3]δὲ ἔστω τῆς ῥαφάνου, ἐλαίῳ διεῖναι, ὅσον τεταρτημόριον κοτύλης, τοῦτο ἐγχεῖν χλιαρὸν, καὶ ἢν ῥαγῇ τὸ πῦον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι χρῆσθαι, καὶ ἢν μὴ ἴῃ τὸ πῦον, κατ' ὀλίγον πυριᾷν κατὰ [4]τὸ στόμα σίου χυλῷ, οἴνῳ τορνίῳ, γάλακτι βοείῳ ἢ αἰγείῳ, [5]ἴσον ἑκάστου συμμίξας· ἔστω δὲ ὅσον τρεῖς κοτύλαι· ἔπειτα ἐμβάλλειν ἰπνοῦ ὄστρακα διαφήνας, τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ φυλασσόμενος ὅκως μὴ κατακαίηται. Ἐπὴν δὲ καθαρώτερον πτύῃ, ἐγχεῖν αὐτῷ[6] κνίδης σπέρμα, λιβανωτὸν, ὀρίγανον, ἐν οἴνῳ λευκῷ καὶ μέλιτι καὶ ἐλαίῳ ὀλίγῳ, ἐγχεῖν δὲ διὰ τρίτης ἡμέρης· μετὰ δὲ, βούτυρον, ῥητίνην ἐν μέλιτι διατήκων· καὶ [7]σιτίοισι μηκέτι χρῆσθαι ἁλμυροῖσι μηδὲ λιπαροῖσι· πινέτω δὲ νῆστις τὰς ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον, πήγανον, θύμβραν, ὀρίγανον, ἴσον ἐν οἴνῳ ἀκρήτῳ, ὅσον ὀξύβαφον μετὰ πάντων ἐπιπάσσων. Ἢν δὲ μὴ ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, [8]οὐδὲν θαυμαστόν· πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ αὐτίκα δοκέει ῥάων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ. [9]Ὁκόταν δ χρόνος

[1] Σιτία vulg. – σίδια θ, Mack. – ὅσον om. E. – μικρῶν vulg. – σμικρῶν θ, Mack. – μικρῶν μερέων ἑκατέρου ἴσον ἔστω L, Lind. – ἑκατέρων vulg. – ἑκατέρου EFGHIJKθ, Ald., Mack. – σιμφίου (sic) G, Ald. – κίαμον G. — [2] δ' E H. – τούτω, al. manu ου H. – τούτων θ. — [3] δ' EH. – ἐλέω H. – τεταρτημορίῳ vulg. – τεταρτήμορον (sic) θ. – καὶ λιπ. om. FG. – λιπαροτάτοισι Ald., Frob. – χρήσθω FHIKLθ. — [4] τὸ om. J. – χυλὸν J. – οἰνοτορνίω FGJ. – Cette leçon est-elle correcte? Mack fait de τορνίῳ un adjectif dérivé de τόρνος, et désignant un vin exprimé par le pressoir en opposition avec la mère-goutte. Mais τόρνιος en ce sens n'est pas grec, et il ne cite aucune autorité. Il faut donc, en l'absence de toute autre explication et vu l'unanimité des mss., considérer τορνίῳ comme désignant une localité qui nous est inconnue. Si on supposait la leçon vicieuse, on pourrait lire οἴνω ἀνδρίῳ, se guidant sur la glose d'Érotien, p. 80 : ἀνδρεῖος οἶνος, ἢ ὁ εὔτονος, ἢ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου, ὡς Λέσβιος ὁ ἀπὸ Λέσβου· οὕτω καὶ ἀνδρεῖος ὁ ἀπὸ Ἄνδρου; et p. 276 : οἶνος ἄνδρειος, εὔτονος καὶ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου· ὡς λέσβιος ὁ ἀπὸ Λέσβου. — [5] ἴσον δὲ θ. – δ' EH. – ἴπνου vulg. – ἴπνου E, Mack. – ἰπνοῦ Lind. – ὅκως IJK. – ὅπ. vulg. — [6] κνίδης Lθ, Foes in not., Mack. – κνίκης vulg. – ὀλίγῳ om. θ. – ἡμέρας K. – βούτηρον G, Ald. – ῥητίνης FGH,

ce moyen le pus fait éruption, c'est bien; sinon, essayez autre chose : extrayez le jus de grenades âcres et du cyclamen; ayez de chaque un petit oxybaphe, puis pilez gros comme une fève de suc de silphion, délayez; mêlez-y un oxybaphe de lait de chèvre ou d'ânesse, et infusez cela chaud [dans le poumon]. Si ce moyen ne procure pas l'éruption, prenez de la peau de navet et gros comme trois fèves de fleur de cuivre, broyez exactement (la dose de navet doit être double), délayez dans un quart de cotyle d'huile et infusez cela chaud. Si le pus fait éruption, le patient usera des aliments les plus salés et les plus gras. Le pus ne vient-il pas? vous ferez prendre, par la bouche, petit à petit un bain de vapeur ainsi composé : jus de sion (*sium sisarum*, L.), vin tornien (*voy. note 4*), lait de vache ou de chèvre, mêlez de chaque quantité égale, en tout trois cotyles; puis mettez-y des têts de four très-chauds; le malade aspirera cette vapeur par un tuyau, prenant garde de se brûler. Quand l'expectoration devient plus pure, on lui infusera : graine d'ortie, encens, origan, dans du vin blanc, du miel et un peu d'huile; cette infusion se fera tous les trois jours; puis il prendra du beurre et de la résine dissoute dans du miel. Il n'usera plus des aliments salés ou gras. Les jours entre les infusions, il boira à jeun : sauge, rue, sarriette, origan, de chaque, quantité égale, dans un oxybaphe de vin pur saupoudré de toutes ces substances. Si les infusions ne déterminent pas l'éruption, il ne faut pas s'étonner; car souvent la rupture se fait dans la cavité (pleurale), et immédiatement le malade paraît mieux, le pus ayant passé d'un lieu étroit en un espace plus large. Au bout de quelque temps,

Ald. - ῥιτίνης IJ. — [7] σιτίοις G. - νῆστις om. Lind. - τῷ ἐγχύτῳ θ. - ἐλελύσφακον J. - θρύμβραν FG. - θρύμβαν E, Ald. - θήμβραν J. - σὺν pro μετὰ θ. - μετὰ om., restit. al. manu H. — [8] οὐδὲν θαυμαστὸν θ, Mack, (Lind., οὐ θαῦμα). - οὐδὲν θ. om. vulg. - εἰς J. - αὐτίκα om. FGJK. - ῥᾶον JL. - ὅταν.... ἔλθῃ om. FG. — [9] Ante ὁκ. addit ἄλλη νοῦσος vulg. - ἄλλη ν. om. Hθ. - Il faut supprimer ce prétendu titre. Évidemment il s'agit, non d'une autre maladie, mais de ce qui arrive quand le pus se fait jour dans la cavité de la plèvre. - ὅταν (H, al. manu ὁπόταν) θ. - ὁπόταν EIJK. - ἰσχυρὸς vulg. - ἰσχυρότερος θ.

πλείων γένηται, ὅ τε πυρετὸς ἰσχυρότερος καὶ ἡ βὴξ ἐπιλαμβάνει, καὶ τὸ πλευρὸν ὀδυνᾶται, καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται [1]κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τῶν ὀμμάτων. Τοῦτον, ὅταν ἡμέρη πέμπτη καὶ δεκάτη γένηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ, καθίσας ἐπὶ ἐφέδρου, ὅ τι μὴ ὑποκινήσει, ἕτερος μὲν τὰς χεῖρας ἐχέτω, σὺ δὲ [2]τῶν ὤμων σείων, ἀκροάζεσθαι ἐς ὁκότερον ἂν ψοφέῃ· βούλεσθαι δὲ ἐς τὸ [3]ἀριστερὸν ταμέειν· ἧσσον γὰρ θανατῶδες. Ἢν δέ [4]σοι ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ, ποιέει [5]γὰρ τοῦτο ἐνίοτε, ὁκότερον ἂν ἀποιδέῃ καὶ ὀδυνᾶται μᾶλλον, τοῦτο τάμνειν ὡς κατωτάτω ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, [6]ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ· τάμνειν δὲ μεταξὺ τῶν πλευρέων στηθοειδέϊ μαχαιρίδι τὸ πρῶτον δέρμα, ἔπειτα [7]ὀξυβελέϊ, ἀποδήσας ῥάκει, τὸ ἄκρον τῆς μαχαιρίδος λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ μεγάλου, καθεῖναι ἔσω· ἔπειτα ἀφεὶς τὸ πῦον ὅσον ἄν σοι δοκέῃ, μοτοῦν ὠμολίνῳ μοτῷ, λίνον ἐκδήσας· ἀφεῖναι δὲ τὸ πῦον [8]ἑκάστης ἡμέρης ἅπαξ· ἐπὴν δὲ γένηται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πῦον, ὀθονίῳ μοτοῦν· ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαίνων αὐλίσκῳ, ὡς μήτε ὁ [9]πλεύμων ἐξαπίνης εἰωθὼς βρέχεσθαι τῷ πύῳ ἀποξηρανθῇ· ἐξιέναι δὲ τὸ ἔγχυμα τὸ μὲν ἕωθεν ἐς ἑσπέρην, [10]τὸ δ' ἑσπερινὸν ἕωθεν· ἐπὴν δὲ τὸ πῦον λεπτὸν οἷον ὕδωρ ᾖ, καὶ γλίσχρον τῷ δακτύλῳ ψαυόμενον, καὶ ὀλίγον, ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον· ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, [11]ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν, συμφύειν τὸ ἕλκος, ἔστ' ἂν ἐξέλῃς

15. [6]Περιπλευμονίη· ἡ δὲ [7]περιπλευμονίη τοιάδε ποιέει· πυρετός τε ὀξὺς ἔχει, καὶ τὸ πνεῦμα πυκνὸν, καὶ θερμὸν ἀναπνέει, καὶ ἀπορίη, καὶ ἀδυναμίη, καὶ ῥιπτασμὸς, καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην καὶ [8]εἰς τὴν κληῖδα καὶ [9]ἐς τὸν τιτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσιν, ἐνίοτε δὲ καὶ παραφροσύνη. Ἔστι [10]δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν· πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. Τὸ δὲ σίαλον [11]λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. Ἡ δὲ γλῶσσα ξανθή· προϊόντος δὲ τοῦ χρόνου μελαίνεται· ἢν μὲν οὖν ἐν ἀρχῇ [12]μελαίνηται, θάσσους αἱ ἀπαλλαγαί· ἢν [13]δὲ ὕστερον, σχολαίτεραι· τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, [14]καὶ ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται· τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. Ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τοὐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν, καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχὶ, τὸ μὲν πρῶτον πολὺ

[1] Εἰ EHKθ. – λαϐὼν EFGHIJKθ, Ald. – λαϐὼν om. vulg. – ἐσιέναι καὶ (καὶ om. θ) φυσᾷν vulg. – Supprimez καὶ et lisez φῦσαν. – σύσταλσιν (G, al. manu), Ald. — [2] ἐκφέρων θ. – κλύσαι· εὐθὺς δὲ (δ' EHK) ἕτοιμον vulg. – κλύσαι εὐθύς· ἕτοιμον δ' θ. – πολὺ pro πάνυ θ. – πάντων pro πάνυ τῶν J. – καὶ pro ἀλλὰ θ. — [3] τῶν om. EHKθ. – γίνεται om. θ. — [4] τὸ J. – τε om. Lind. – τέως G, Ald. – αὐγίτην vulg. – αὐγίτιν H. – αὐτίτην θ, Lind., Mack. – ἔγχωρον vulg. – ἔνχωρον HK. – εὔζωρον θ, Mack. – Erot. Gl. : δεινὸν (l. οἶνον) αὐτίτην, τὸν ἀπαράχυτον· ὡς καὶ Πολύζηλος ἐν Δήμῳ Τυνδάρεων φησὶν, ἄμαθα γὰρ αὐτίταν πᾶσί τε θεοξενίης ἐγένετο. Autre est l'explication de Gal. Gl. : αὐτίτην οἶνον, τὸν αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους. — [5] αὐτὸν om. θ. – καὶ om. θ. – συναποκτείνειεν EHKθ. – ἀποκτείνειεν vulg. — [6] π. om. θ. – περιπν. GK. – περὶ πλευμονίης EF. — [7] περιπν. G. – ἰσχυρὸς pro ὀξὺς θ. – ἴσχει Εθ. – πυκινὸν E Kθ, Ald. – πυκινὸν καὶ πυκνὸν pro πυκνὸν καὶ θερμὸν FGIJ. – ὠμοπλάτιν E. — [8] ἐς Lind. — [9] εἰς EGHIJK, Ald., Frob. – ἐνίοτε δὲ om. θ. – παραφρονεῖ

cela réussit, on fera prendre un lavement; sinon, on prendra un soufflet de forge, et on introduira de l'air dans le ventre afin de dilater et le ventre et l'intestin contracté; alors, faisant sortir l'air, on administrera aussitôt un lavement. Le lavement doit être prêt; il sera composé de substances qui n'échauffent pas beaucoup, mais qui dissolvent et fondent les excréments. Puis, enfonçant une éponge dans l'anus, le malade s'asseoira dans de l'eau chaude, gardant le lavement; s'il reçoit et puis rend le lavement, il guérit. Auparavant, il prendra en éclegme de l'excellent miel et boira du vin de l'année non coupé. Si, l'iléus ayant cédé, la fièvre survient, le cas est désespéré; car sans doute le flux de ventre entraînera la mort.

15. (*Péripneumonie.*) Péripneumonie : la péripneumonie cause ces accidents : il y a fièvre aiguë, respiration fréquente, expiration chaude, angoisse, faiblesse, jactitation, douleur sous l'omoplate, à la clavicule, à la mamelle, pesanteur dans la poitrine, et parfois délire. Chez quelques-uns la péripneumonie est indolente jusqu'à ce qu'ils commencent à tousser; mais elle est plus longue et plus difficile que l'autre. L'expectoration est d'abord ténue et écumeuse. La langue est jaune; au bout de quelque temps elle noircit. Si elle est noire dès le début, les solutions sont plus promptes; si plus tard, elles sont plus lentes. Vers la fin la langue se gerce aussi, et le doigt, si on l'y applique, s'y colle. La langue donne pour la solution de la maladie les mêmes signes que dans la pleurésie. Le malade présente ces accidents pendant quatorze jours au moins, pendant vingt et un jours au plus; il tousse beaucoup tout ce temps, et avec la toux il se purge de matières d'abord abondantes, écumeuses, puis, au septième jour et au huitième,

EFG (H, al. manu) IJKLP'Q'. — [10] δὲ EK. – ἂν om. θ. – ἦν pro ἂν GHJK, Ald., Frob., Lind. — [11] λευκὸν EHKP'Q'θ, Lind., Mack. – καὶ ἡ γλῶσσα θ. — [12] μελαίνοιτο EFGIK, Ald. – μελεδαίνοιτο J. – ἀπαλλάξιες θ. – κρίσιες Codd. quidam ap. Foes in not. — [13] δ' EK. — [14] καὶ.... γλῶσσα om. J. – εἰ GI. – προσθεὶς GI, Ald., Frob. – θράσσεται pro ἔχεται θ. – ἦν pro τὴν GI. – σημαίνῃ G. – ὁμοίως δὲ ταῦτα J. – ταῦτα καὶ pro ταῦτα δὲ Lind. – πουλὺ Lind.

καὶ ἀφρῶδες σίαλον, ἑϐδόμῃ [1] δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν [2] ὑγρὴ ἡ περιπλευμονίη ἔῃ, παχύτερον· [3] ἢν δὲ μὴ, οὔ· ἐννάτῃ [4] δὲ καὶ δεκάτῃ ὑπόχλωρον καὶ ὕφαιμον, δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. [5] Ὧν ὑγραί εἰσιν αἵ τε φύσιες καὶ [6] αἱ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. Ἢν μὲν οὖν [7] τῇ πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα ξηρανθῇ καὶ μηκέτι ἀποϐήσσῃ πυῶδες, ὑγιής ἐστιν· ἢν δὲ μὴ, πρόσεχε πρὸς τὰς εἴκοσι δυοῖν δεούσας καὶ τὰς εἴκοσι καὶ μίαν τὸν νόον, καὶ ἢν μὲν ἐνταῦθα παύσηται τοῦ πτύσματος· [8] ἢν δὲ μὴ, ἔρου αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον, καὶ ἢν [9] μὲν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων ἀναγάγῃ τὸ πῦον· ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. Ἀλλ' ἐν τῇσι [10] πρώτῃσιν ἡμέρῃσι μάλιστα διαδηλοῖ· ἢν γὰρ ἐκπτύσῃ τὸ σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· [11] ἢν δὲ μὴ, οὔ. Αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπει [12] τῶν ἐκ περιπλευμονίης κακῶν· ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ τοσοῦδε δέουσαν τῷ κάμνοντι ἔχειν καὶ τῷ [13] ἰητρῷ μεταχειρίζεσθαι· ἢν δὲ ὀλίγα ἔχῃ τούτων

[1] Δὲ om. J. – ὁπόταν EHK. — [2] ὑγρὴ εἴη (εἴη om. θ; ᾖ EFHIK) ἡ vulg. – περιπν. K. – ἴῃ παχύτερον vulg. – Je lis ἔῃ et mets la virgule avant παχ. – ταχύτερον (E, al. manu παχ) FGIJKLQ'. — [3] εἰ EHK. – ἐνάτῃ HK. — [4] δὲ om. E. – καὶ τεσσαρεσκαιδεκάτῃ pro τῆς τεσσαρεσκαιδεκάτης G, Ald. – τῆς om. JK. – τεσσάρων καὶ δέκα θ. – τεσσαρεσκαιδεκάτῃ J. – πολὺ EHK. — [5] ὧν καὶ (καὶ om. θ) vulg. — [6] αἱ θ. – αἱ om. vulg. – ἀτὰρ EFGJK. – αὐτὰρ om. θ. – ἡ στάσις τῆς νούσου οὐ ξηρὴ θ. — [7] τῇ om. EHθ. – τετάρτῃ καὶ δεκάτῃ (πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα θ) ξηρανθῇ vulg. – ἀποϐήσσει E. – εἰ pro ἢν EH. – εἰς HIJK. – ἐς vulg. – πρὸς θ. – δεουσῶν vulg. – δεούσας EHIKQ'θ, Lind., Mack. – δεούσῃ J. – ἐνταῦθα om. FGJ. – παύσηται, ἐκφεύγει (ἐκφεύγῃ G, Ald.) τοῦ πτύσματος (παύσηται ἐκ τοῦ πτύσματος, φεύγει K', Mack) vulg. – Je pense que la correction est de supprimer ἐκφεύγει, une telle tournure étant fort usitée. Quelqu'un, ne la trouvant pas suffisamment claire, aura mis à la marge ἐκφεύγει, qui de là aura passé dans le texte, mais avant τοῦ πτύσματος, au lieu d'être placé après. — [8] εἰ EHK. — [9] μὲν θ. – μὲν om. vulg. – ἴσθι ὅτι om. (H, restit. al. manu) θ. – πν. K. – ἀγάγῃ θ. — [10] Post πρ. addit ἢ δευτέρῃσιν θ. – διάδηλοι vulg. – Je lis διαδηλοῖ. – ἐκπτυσθῇ θ. — [11] εἰ HK. – περιπν. K. — [12] τῶν ἐκ περιπλευμονίης κακῶν θ. – τῶν ἐν τῷ πλεύμονι (πν. GJK) ἐόντων κακῶν vulg. – ἀπὸ pro ἀπῇ G, Ald. – χρὴ ὅσα τε τῷ κάμνοντι vulg. – χρὴ δέουσαν τῷ κάμνοντι θ. – En soi, la leçon de vulg. est peu sûre; d'abord il faudrait sans doute la lire

quand la fièvre est à son summum, plus épaisses si la péripneumonie est humide, mais non si elle ne l'est pas; au neuvième et au dixième, jaunâtres et sanguinolentes; au douzième jusqu'au quatorzième, abondantes et purulentes. Chez ceux dont le corps a une nature et une disposition humides, la maladie est intense; chez ceux où la nature et la constitution de la maladie sont sèches, la gravité est moindre. Si dans le quinzième ou le seizième jour le poumon se dessèche et qu'il n'y ait plus d'expectoration purulente, le malade guérit; sinon, faites attention aux dix-huitième et vingt et unième jours. L'expectoration cesse-t-elle à cette époque? très-bien; dans le cas contraire, demandez-lui si l'expectoration a une saveur plus douce; répond-il oui? sachez que le poumon est le siége d'une suppuration et que la maladie prend une constitution à durer une année, à moins que le pus ne soit hâtivement évacué dans les quarante jours. S'il répond que le goût de l'expectoration est désagréable, la situation de la maladie est très-dangereuse. C'est surtout dans les premiers jours que l'issue se manifeste; en effet, si le malade expectore en vingt-deux jours les matières corrompues et purulentes sans ulcération, il réchappe; sinon, non. Dans une telle péripneumonie ne manquent aucun des maux de la péripneumonie. Si quelqu'un de ces accidents est absent, sachez que c'est autant de moins pour le malade à supporter, pour le médecin à traiter. Si peu de ces signes sont présents, n'allez pas vous

ὅσα τῷ τε κάμνοντι; puis le sens n'en est aucunement satisfaisant. Elle devient encore plus incertaine en présence de celle de θ, qui, sans donner rien de clair, montre cependant que la tradition du texte a souffert ici entre les mains des copistes. Si j'avais à restituer le texte indépendamment de ce qu'en donnent les mss., je lirais εἰδέναι χρὴ μαλακωτέρην ἐοῦσαν τῷ κάμνοντι κτλ. Mais, en suivant nos variantes, il me semble retrouver en ὅσα τε assez du mot δέουσαν pour croire que la bonne lecture est δέουσαν. Cela supposé, il faut supposer aussi que dans le texte de vulg. et dans celui de θ un mot a été sauté, tel que τοσοῦδε, qu'en conséquence j'introduis. — [13] ἰατρῷ J. – ἔχει J. – σημείων vulg. – σημηΐων E. – ἐξαπατάτω· ἐπεὶ (ὡς Q′) οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακὴ vulg. – ἐξαπατάτω ὡς (ἐπεὶ H) οὐ (οὐκ al. manu E) (addit ὀλέθριος al. manu E) περιπλευμονίη (περιπν. E) ἐστιν· ἔστι γὰρ (ἀλλά τις E) μαλθακὴ EHKθ.

τῶν σημηΐων, μὴ ἐξαπατάτω ὡς οὐ περιπλευμονίη ἐστίν· ἔστι γὰρ μαλθακή. Θεραπεύειν δὲ [1]χρὴ τὴν περιπλευμονίην οὕτως· οὐ μέντοι ἐξαμαρτήσῃ καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος· [2]ἄρχου τὸ πρῶτον κουφίζων τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ [3]πρὸς τὸ στῆθος· τὰς δὲ πρώτας ἡμέρας τὰ ῥοφήματα ἔστω γλυκύτερα, οὕτω γὰρ ἂν μάλιστα τὸ [4]ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς ἀποπλύνοις καὶ κινέοις· τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρὰ, ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι [5]ξυμφέρει· ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. Τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε ὑποχωρέειν χρὴ καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι καὶ τὰ ἀλγήματα κουφότερα· [6]ὁκόταν δὲ κεκενωμένος ᾖ καὶ ἀσθενὴς τὸ σῶμα, [7]τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό τε [8]σῶμα μὴ ἀδύνατον ᾖ καὶ τὰ ἄνω χωρία ἔνυγρα· ἢν γὰρ κάτω [9]τὸ ὑγρὸν πολλὸν ὑποχωρέῃ ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει· κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, [10]τὰ ἄνω ξηραίνεται, καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. Δεῖ οὖν καὶ τὴν [11]κάτω κοιλίην μήτε ἑστάναι [12]λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοὶ, μήτε λίην ὑποχωρέειν, [13]ἵνα τὸ σίαλον ἀνιέναι δύνηται καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς ἑκταίοισι καὶ [14]ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νούσου μᾶλλον δίδου· τὸ δὲ φάρμακον ἔστω ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου. Ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ καὶ τὸ πνεῦμα πυκνὸν ᾖ [15]καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιστός ἐστι [16]τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. Ποιέειν δὲ καὶ τὰ ἐν τῇ [17]περιπλευμονίῃ, ἤν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουρ-

[1] Ὧδε pro χρὴ EHKθ. – περιπν. HK. – οὕτως om. EHKθ. – μέν τι J. – ἐξαμαρτήσει vulg. – ἐξαμαρτήσῃ EHK. – καὶ φρ. καὶ πλ. EHK. — [2] Ante ἄρχου addit θεραπεία L. – τὴν κεφαλὴν ἄρχου κουφίζειν, sine τὸ πρῶτον, alia manu πρῶτον sine τὸ H. – τὴν κεφαλὴν ἄρχου κουφίζειν πρῶτον EK. – τὴν κεφαλὴν ἄρχου κουφίζων θ. – κουφίζειν vulg. — [3] ἐς EHKθ. – τὰ δὲ ῥοφήματα τὰς μὲν πρ. ἡμ. γλυκύτερα sine ἔστω EHKθ. – ἤτω pro ἔστω FGIJ. — [4] συγκ. EHIJK. – συνεσ. EHIJK. – κινοίης θ, Mack. — [5] σ. EHK. – ἐκ τῶν θ, Lind., Mack. – φάρμακον GQ'θ, Lind., Mack. — [6] ὁπ. EHK. — [7] τὴν κοιλίην κάτω E. — [8] σῶμα δυνατὸν ᾖ vulg. – σῶμα μὴ ἀδύνατον ᾖ θ. – ἔνυγρα θ. – ἄνικμα vulg. — [9] τὸ θ. – τὸ om. vulg. – ἡμέρας E. — [10] καὶ pro τὰ Mack. – Ante τοῦ addit ἡ θ. — [11] ἄνω pro κάτω θ. — [12] μὴν, al. manu λίην E. – λίην om. θ. — [13] Post ἵνα addunt μὴ FGJ. — [14] ὀγδοαίοισι pro ἑβδ. καὶ ἐνν. θ. – ἐνατ. HK. – μᾶλλον

tromper et croire que ce n'est pas une péripneumonie ; c'en est une peu intense. Vous traiterez ainsi la péripneumonie (et vous ne commettrez point d'erreur en traitant de même la pleurésie et la phrénitis) : commencez d'abord par alléger la tête afin que rien n'en découle sur la poitrine. Dans les premiers jours les potages seront de saveur douce; c'est en effet de cette façon surtout que vous délayerez et déplacerez ce qui est amassé et condensé. Le quatrième jour, le cinquième et le sixième, les potages ne seront plus doux, ils seront gras; car ils secondent l'expectoration. Si le malade ne peut convenablement expectorer, on donnera quelque expectorant. Dans les quatre ou cinq premiers jours il faut procurer des évacuations alvines, même assez abondantes, afin que les fièvres soient moins vives et les souffrances plus légères. Quand les évacuations ont été procurées et que le malade est faible, on ne lâchera le ventre inférieur que de deux jours l'un, afin que le corps ne perde pas toute force et que les parties supérieures conservent de l'humidité. En effet, si à partir du cinquième jour beaucoup de liquide s'écoule par le bas, cela cause la mort; le liquide s'en allant par le bas, les parties supérieures se dessèchent, et la purgation par voie d'expectoration ne procède pas. Il faut donc que le ventre inférieur ne soit ni trop resserré afin que les fièvres ne soient pas aiguës, ni trop relâché afin que le malade puisse expectorer et conserve de la force. Les expectorants seront donnés le sixième jour, le septième, le neuvième et à une époque encore plus avancée de la maladie. L'expectorant sera hellébore blanc, thapsie, élatérion récent, dose égale de chaque. Si l'expectoration ne marche pas bien, si la respiration est fréquente et que le malade ne prenne pas le dessus de la purgation, prédisez que le cas est désespéré, à moins qu'il ne puisse suffire à la purgation. Il faut aussi faire ce qui convient dans la péripneumonie, si les évacuations alvi-

om. θ. — [15] καὶ τὰ τῆς K'. — [16] τοῦ om. EHK. — [17] περιπν. K. - πλευμονίῃ E. - ὑπουργέει J.

γέη. Ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος· δίδου [1] ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα, καὶ δαύκου καὶ ἀκαλήφης μίην, καὶ νάπυος καὶ πηγάνου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ ὀπὸν σιλφίου ὅσον κύαμον· ταῦτα ἐν [2] ὀξυγλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. Ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, [3] ἄρου χηραμίδα καὶ σήσαμον καὶ ἀμύγδαλα καθήρας ἐν ὀξυγλυκεῖ κεκρημένῳ πίνειν· ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν.

16. [4] Πλευρῖτις· ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει· ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει, καὶ ἀναπνέει πυκνὸν, καὶ ὀρθοπνοίη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ· ἢν [5] δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων· ἐν δὲ τῇ [6] αἱματώδει ὕφαιμον. Ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· [7] εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ· ἡ δὲ αἱματώδης [8] ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης· ὁκόταν οὖν προσῇ καὶ λὺγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος· δέκα [9] δὲ ἡμέρας διαφυγὼν, τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται, εἰκοστῇ δὲ [10] ἐμπυΐσκεται, καὶ ἀποβήσσει πῦον, τελευτῶν δὲ [11] καὶ ἀπεμέει, καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. [12] Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι, χαλεπαὶ [13] δὲ αὗται· αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν· ὑγρασίης δὲ πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. Αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν [14] ἐννα-

[1] Ἄρτου K. – τοῦ om. Kθ. – κόχην FGJ. – χηραμύδα EH. – Il faut probablement lire κόγχην ἢ χηραμίδα comme plus loin, p. 150. Cependant lisez-y la note 8, qui donne quelque appui à la lecture κόγχην χηραμίδα. – καὶ (καὶ om. vulg.) δαύκου θ. – ἀκαλίφης GHIJK, Frob., Lind. – μίαν E (H, al. manu ην). — [2] ὄξει γλυκεῖ (γλυκὺ GJ) vulg. – Je lis ὀξυγλυκεῖ en un seul mot. – ἄρξηται L. – ἐκπυεῖν θ. — [3] ἄρτου K. – χηραμύδα H. – σίσαμον GJ. – ὄξει γλυκεῖ vulg. – κεκηρωμένω (E, al. manu κεκρημένω) L, Lind. – ἐπικηρωμένω P'Q'. – βούλει HK. – καπάριος GI. — [4] Post πλ. addunt νοῦσος FG. – περὶ πλευρίτιδος E. – πλευρίτης J. – πλευρίτις (ubique) K. – πλ. om. θ. – ὁπόταν EHIJK. – ἀναπνέει θ. – ἀναπνεῖ vulg. – πυκινὸν EGHIKθ, Ald. – ὀρθοπνίη θ. – ὑπόχολον EHKθ. – οἷον om. θ. – ῥήγματι J. — [5] δ' EHK. – καὶ om. J. – ῥηγμάτων· ἔστι δὲ καὶ αἱματώδης (ἔστι δὲ κ. αἱμ. om. θ), ἐν δὲ vulg. — [6] αἱματώδη EJ. – ἠπιωτέρη Ald. — [7] ἢν E. – θανατώδης K. — [8] ἰσχ. om. θ. – ὁκόταν IJ. – ὁπ. vulg. – λὺξ GJ. – αἵματα GJ. – ἀποβήσσει HK. — [9] δὲ om. FG (J, restit. al. manu). — [10] ἐκπ. vulg. – ἐμπ. HIKLθ. – πύος K. — [11] καὶ H (θ, sine δέ). – καὶ om. vulg. – καὶ οὐ πάνυ θεράπευτος (sic) γίνεται θ. – ἀθεράπευτος J. — [12] ξηραὶ πλευρίτιδες (πλ. ξ. E) (ξ. πλ. om. Hθ)· εἰσὶ δὲ (δὲ om. θ)

nes rendent bon service. On peut encore agir autrement, en commençant au premier jour : prenez du grand arum (*arum italicum Lam., d'après Fraas, p. 273, avec un point de doute*) plein une coquille, une coquille de daucus et d'ortie, une pincée de moutarde blanche et de rue, et gros comme une fève de suc de silphion; mêlez cela dans de l'oxyglyky (*préparation de vinaigre et de miel*) et de l'eau, filtrez, et donnez à boire chaud à jeun. Quand l'expectoration commence à devenir pure, donnez à boire, dans de l'oxyglyky coupé, une coquille d'arum, du sésame et des amandes nettoyées; si vous voulez une expectoration plus active, mêlez-y l'écorce de la racine de câprier.

16. (*Pleurésie.*) Pleurésie : Voici les accidents de la pleurésie : il y a douleur de côté, fièvre et frisson, respiration fréquente, orthopnée. L'expectoration est de couleur subbilieuse comme celle de la grenade, à moins qu'il n'y ait des ruptures; s'il y en a, le malade expectore aussi du sang, que les ruptures fournissent. Dans la pleurésie sanguine, l'expectoration est sanguinolente. La pleurésie bilieuse (Coaque, 381) est plus bénigne, à moins que le malade n'ait des ruptures; s'il en a, elle est plus pénible (Coaque, 376), mais non plus dangereuse. La pleurésie sanguine est violente, pénible et dangereuse; quand donc il y a en outre hoquet et expectoration de grumeaux de sang noir (*apoplexie pulmonaire, voy.* des Maladies, II, § 64), le patient succombe au septième jour; passant dix jours, il guérit, à la vérité, de la pleurésie, mais le vingtième il devient empyématique, expectore du pus, finit par en vomir, et alors la cure est loin d'être facile. Il y a aussi des pleurésies sèches sans expectoration; elles sont difficiles (Coaque, 375); elles ont des crises semblables aux autres; mais il leur faut plus d'humidité par la boisson. Les bilieuses et les sanguines se jugent le neuvième et le onzième jour, et ces malades ont plus de chances de guérir. Si, au début, il y

vulg. — [13] δὲ om. EHK. – ὑγρασίῃσι vulg. – ὑγρασίης KLθ, Lind., Mack. – δὲ θ, Lind., Mack. – δὲ om. vulg. – πλείονος EH. – Post ἄλλων addunt τῶν FGJ. – ποταμῷ pro ποτῷ J. — [14] ἐνατ. HK. – δεκαταῖαι pro ἐνδ. θ.

ταῖαι καὶ ἑνδεκαταῖαι, [1]καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. [1]Ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξέαι, [2]αὗται τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἀποθνήσκουσι· κίνδυνος δὲ μάλιστα [3]μὲν μέχρις ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην, μετὰ δὲ ταύτας ὑγιαίνονται. Αἳ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. [4]Ἡ δὲ ἐς τὸ νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων· [5]τὸ νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς, καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον· εὐθὺς δὲ πτύει ὀλίγα, καὶ κοπιᾷ τὸ σῶμα· τρίτῃ [6]δ' ἢ τετάρτῃ οὐρέει ἰχῶρα ὕφαιμον· ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος· εἰ δὲ μή [7]γε, ἑβδομαῖος· ταύτας [8]δὲ διαφυγὼν ζώει, καὶ ἡ νοῦσος ἠπίη καὶ ἧσσον θανατώδης· φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα· μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. [9]Ἐνίοις δὲ τῶν πλευριτικῶν τὸ μὲν σίαλον καθαρὸν, ἡ [10]δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες· ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν· οὗτος τὴν ἑβδόμην διαφυγὼν [11]ὑγιαίνει. Ὁκόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται τὸ νῶτον ἐρυθριᾷν, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσηται χλωρῷ καὶ δυσώδεϊ σφόδρα, οὗτος διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει· ταύτας δὲ διαφυγὼν [12]ὑγιαίνει. Οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι [13]θνήσκουσι, ταύτας δὲ [14]διαφυγόντες ὑγιαίνουσιν· ὁ μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ ἢ [15]τῇ ἑνδεκάτῃ ἄρχεται ἐμπυΐσκεσθαι· κρέσσον δὲ ἐμ-

[1] Ἢ pro καὶ L. – τινες om. (H, restit. al. manu) θ. – ὀξεῖαι vulg. – ὀξέαι θ. — [2] αὗται δὲ (δὲ om. θ) vulg. – δυοδεκάτης, al. manu δυοκαιδ. H. – δυωκαιδεκάτης EI. – δωδεκάτης θ. – ἀποθνήσκουσι θ. – ἀποφεύγουσι vulg. — [3] μὲν θ. – μὲν om. vulg. – μέχρι Hθ. – δυωκαιδεκάτην EI. – δωδεκάτην θ. — [4] πλευρῖτις ἐν νώτω (πλ. ἐν ν. om. θ)· ἡ δὲ (δ' EHK) ἐς τὸν νῶτον (τὸν ὦτον sic θ) vulg. – τόσον δὲ HK. – τόσον J. — [5] τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐκ om. Lind. — [6] δ' θ, Mack. – δ' om. vulg. — [7] γε om. θ, Mack. — [8] δὲ om. FG. – ζώη G, Frob. – ζῇ μὲν, καὶ θ. – ἠπίη Ald., Frob. – θανώδης (sic), al. manu νατ H. – χρὴ om. EFH. – τῶν om. H. – γίνεται om., restit. al. manu H. — [9] ἐνίη EFGHIJK, Ald. – ἐνίαις δὲ τῶν πλευριτίδων θ. — [10] δ' EHK. – ἰχῶρες θ. — [11] ὑγιὴς, al. manu αίνει H. – πλευριτικῶν Lind. – τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐρυθρυᾶν K. – ἐκταράσσεται vulg. – ἐκταράσσηται E. – δυσώδει vulg. – δυσώδεϊ EHIJK. – τῆς γαστρὸς om. (H, restit. al. manu) θ. – μιᾶ EHK. — [12] ὑγιὴς, al. manu αίνει H. – πτύσεις vulg. – πτύσιες θ. – τὰ om. J. — [13] φεύ-

a quelques douleurs modérées, devenant aiguës à partir du cinquième ou du sixième, ces cas finissent au douzième, et il n'en meurt pas beaucoup; le danger est surtout jusqu'au septième, et même jusqu'au douzième; passé ce terme, on guérit. Les pleurésies, modérées au début, mais aiguës à dater du septième et du huitième, se jugent au quatorzième et guérissent. La pleurésie dorsale diffère des autres en ceci : le dos est douloureux comme à la suite d'un coup; le malade se plaint, il respire fréquemment; d'abord il expectore peu, et il a le corps brisé de lassitude; le troisième ou le quatrième jour, il urine une humeur sanguinolente; il meurt d'ordinaire le cinquième jour; sinon, le septième; dépassant ce terme, il vit, et la maladie est modérée et moins dangereuse; mais il faut être sur ses gardes jusqu'au quatorzième jour; au delà, il guérit. Chez quelques pleurétiques, l'expectoration est pure, mais l'urine est sanguinolente et semblable à l'humeur qui provient de viandes rôties; des douleurs aiguës vont à travers le rachis à la poitrine et à l'aine; un tel malade, passant le septième jour, guérit. Quand, chez quelqu'un de ces pleurétiques, il arrive que le dos rougit, que les épaules deviennent chaudes, que, mis sur son séant, il est appesanti, que le ventre se dérange avec des selles jaunes et très-fétides, ce malade succombe le vingt et unième jour par la diarrhée; mais, passant ce terme, il guérit (Coaque, 374). Ceux chez qui dès l'abord l'expectoration est de toute nature et la souffrance très-aiguë, meurent le troisième jour; mais, passant ce terme, ils guérissent; celui qui n'entre pas en convalescence le septième ou le neuvième ou le onzième, est au début d'une suppuration (Coaque, 373); il vaut mieux suppurer; cela en effet

γοσι (sic) pro θνήσκουσι θ. — [14] διαφυγὼν ὑγιὴς θ. – ὑγιέες pro ὑγιαίνουσιν EHQ′. – ὑγιέες γίνονται Lind. – ὁ om. (K, restit. al. manu) θ. – μὴ δὲ γεν., al. manu μὴ γεν. δὲ H. – ὁ δὲ μὴ γεν. Lind. – γίν. J. – ἐνατ. HK. — [15] τῇ om. θ. – δεκάτῃ vulg. – ἑνδεκάτῃ Lθ, Foes in not., Lind., Mack. – κρεῖσσον vulg. – κρέσσον EHK. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ vulg. – ἐμπυῆσαι, κἂν ἐπίπονον ᾖ· ἧσσον γὰρ θανατῶδες Lind. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δὲ EHKP′Q′θ.

πυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δέ. Πρὸς [1] δὲ τοῖσι σημηΐοισι τοῖσιν εἰρημένοισιν ἐν ἑκάστῃ τῶν πλευριτίδων καὶ τάδε χρὴ σκοπέεσθαι τὴν [2] γλῶσσαν· πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, [3] εἰ μὲν ἐν ἀρχῇ γένοιτο τρηχείη, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου, καὶ ἀνάγκη αἷμα ἀποδῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ· εἰ δὲ [4] καὶ προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ μὲν κρίσιες ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέρην, ἀνάγκη δὲ πτύσαι αἷμα. Ἔχει δὲ [5] ὧδε περὶ τῆς ἀπαλλάξιος· εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους αἱ ἀπαλλάξιες· εἰ [6] δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. Τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν [7] ὡς ἐπιτοπουλὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον ἢ νύκτωρ. Θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως· τὰ μὲν [8] πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι καὶ οἴνοισι γλυκέσιν. Ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς [9] ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ· ἢν δὲ [10] κινηθεῖσα ἡ κοιλίη τὴν μὲν νύκτα χαλάσῃ, τῇ [11] δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. Ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐών, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ· [12] ἐκπτύοντι δὲ ἤδη χολώδεα μὴ δίδου τὸ φάρμακον· ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ' ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται· [13] ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι πλευρῇσιν ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑπο-

[1] Δὲ om. θ. – σημείοισι vulg. – σημηΐοισι EHK. — [2] γλῶτταν vulg. – γλῶσσαν EHIJK, Mack. – πομφόλιγος JK. – πομφ.... ἔλαιον om. θ. – ὑπὸ pro ἐπὶ J. – ἐς Lind. — [3] εἰ EHK. – ἢν vulg. – γίνοιτο EHJK. – τρηχεῖα vulg. – τρηχεία I. – τρηχείη Kθ, Mack. — [4] καὶ om. θ. – προκεχωρηκύης IJ. – ἡμέραν vulg. – ἡμέρην EHIJK, Mack. — [5] ὧδε EHKθ. – οὕτως vulg. – θάττους vulg. – θάσσους E, Mack. — [6] δ' E. – πεπαίνοι τὸ ὕστερον θ. – τῆς om. J. — [7] πολλὸν pro ὡς ἐπιτ. θ. – ἐπὶ τὸ πολὺ EHK. – ὧδε (H, al. manu οὕτως) θ. — [8] πουλὰ GJ. – πουλλὰ I, Ald., Frob. – ἐς τὴν πλευρῖτιν pro ὡς τὴν φρ. θ. – πλευρῖτιν pro φρ. EQ', Lind. – καὶ τὴν περ. EGIK. – περιπν. K. – Post λουτροῖσι addit τε θ. — [9] λήψιος θ. – ἐπεληλύθῃ EGHIJK, Ald. – ἡ om. E. — [10] Post κιν. addit ἡ λυθεῖσα θ. — [11] δ' EHK. – ἔχει K. — [12] πτύοντι θ. – δῶς J. – δοῖς θ. – ἐναταῖος H. — [13] Ante ἢν addit ἢν (ἐὰν EHK) μᾶλλον (μᾶλλον om., restit. al. manu H) καὶ τὰ ὑποχόνδρια ἀλγέῃ (ἢν μ. καὶ τὰ ὑ. ἀλγέῃ om. θ) vulg. – Quand on considère ce membre de phrase après la suppression de μᾶλλον indiquée

est moins dangereux, mais fort pénible. Outre les signes susdits, il faut, dans chacune des pleurésies, considérer aussi la langue : une bulle sublivide se formant sur la langue comme celle que forme un fer plongé dans de l'huile, si la langue devient rugueuse au début, la solution est plus difficile, et nécessairement du sang est expectoré dans les jours où cela doit arriver; si la langue devient rugueuse à une époque avancée de la maladie, les crises vont au quatorzième jour et nécessairement du sang est expectoré (Coaque, 378). Voici ce qu'il en est pour la solution : si au troisième jour commencent la maturation et l'expectoration, la solution est plus prompte; si la maturation commence plus tard, les crises viennent plus tard (Coaque, 379), comme dans les signes relatifs à la tête. Les souffrances, dans toutes les pleurésies, sont d'ordinaire moins pénibles le jour que la nuit. On traitera ainsi les pleurésies : en général, le traitement sera comme pour la phrénitis et la péripneumonie, sauf qu'on usera de bains chauds et de vins doux. Si donc vous prenez une pleurésie le premier jour ou le lendemain de l'invasion, dans le cas où il y a eu des selles non mélangées ou légèrement bilieuses et peu abondantes, on donnera un lavement avec la thapsie. Si le ventre mis en mouvement est relaché la nuit, et que le lendemain il y ait douleur et tranchée, on recommencera le lavement. Si le malade est naturellement bilieux et qu'il soit pris de la maladie ayant le corps impur, il faut, avant que l'expectoration devienne bilieuse, administrer un bon cholagogue. Mais, quand l'expectoration est déjà bilieuse, ne donnez pas le purgatif; car, si vous le donnez, l'expectoration ne pourra pas procéder, et il succombera suffoqué le septième jour ou le neuvième. Dans le cas où, indépendamment des douleurs de côté, les hypocondres sont

par H, on ne peut qu'y voir un titre, supprimé avec raison par θ. – ἦν δὲ πρὸς.... ἀλγέῃ om., restit. al. manu cum εἰ E. – ταύτησι τῇσι (τῆς GJ; τῇις sic I) pro τῇσιν ἐν τῇσι πλευρῇσιν FGIJL. – πρὸς τῇ (sic) ἐν τῇσι πλευρῇσιν ὀδύνησι, al. manu πρὸς ταύτησι τῇσιν ὀδύνησιν H. – ταῦτα pr τὰ H. – τε pro δεῖ EHK. – νήστει δοῦναι θ. – ὕσωπον HIJ. – μήκονα GJ, A

κλύσαι δεῖ, καὶ πιέειν δοῦναι νήστει ἀριστολοχίαν καὶ ὕσσωπον καὶ κύμινον καὶ σίλφιον καὶ μήκωνα λευκὴν καὶ ἄνθος χαλκοῦ καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ. Πρὸς μὲν τὰ φάρμακα [1]οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας· τὰ δ' ἄλλα ὧδε ἔχει· λούειν πολλῷ θερμῷ [2]πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς, καὶ ὁκόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν ὑπαλείφων ἐλαίῳ. [3]Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, [4]ὅκως μὴ κατεργάσηταί τι κακόν· πτισάνης δὲ χυλὸν κάθεφθον διδόναι, ὀλίγῳ παχύτερον, μελιχροποιέων. Μετὰ δὲ τὰ λουτρὰ καὶ οἶνον [5]γλυκὺν ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον ἐκ βομβυλίου οὐκ εὐρυστόμου· καὶ [6]ὁκόταν βῆχες ἐπίωσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα, καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ [7]πλεύμων ὑγρότερος ἐὼν ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα καὶ ἡ βὴξ [8]ἧσσον πονέῃ· καὶ ῥοιῆς δὲ γλυκείης ἢ οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ σμικρὸν πολλάκις δίδου νύκτωρ τε καὶ μεθ' ἡμέρην· καὶ ὕπνον [9]δ' ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται θάσσων τε καὶ πλείων. Τὴν [10]δὲ αἱματώδεα πλευρῖτιν θεραπεύειν χρὴ οὕτως· μετὰ δὲ τὰς κρίσιας ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν, καὶ φυλάσσεσθαι περισσῶς ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, [11]καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας· ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. Ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ καὶ μὴ δύνηται ἀποπτύειν, νήστει δίδου ἄνθος χαλκοῦ ὅσον [12]κοτινάδα,

[1] Οὑτῶ (sic) E. — [2] πρὸς δύναμιν τὴν τοῦ EHK. – τῆς om. EHJK. – ὁπόταν EHK. – εἰσὶ GHIJK. – ὑγροῖσι IJ. — [3] ὁπ. EHK. – κατεγίζωσιν θ. – καταιγίζουσιν G, Ald., Frob. – ἰατρὸν IJ. – θεραπίῃσι HK. — [4] ὅπ. EHK. – ἐξεργάσηται θ. – πτισσ. E. – κάτεφθον vulg. – κάθεφθον HK, Lind., Mack. – κάκεφθον (sic), al. manu κάθεφθον E. – μέλιχρον ποιέων θ. — [5] γλυκὺν καὶ (καὶ om. FGJθ) ὑδ. vulg. – ὀλίγον δὲ ἐκ Lind. – βρομβυλίου, al. manu βομβ H. – Erot. Gl., p. 104 : βομβυλίου, ἔστι μὲν τὸ βομβύλιον εἶδος μελίσσης· σημαίνει δὲ καὶ τὸν αὐλήτην παρὰ τὸ τοῖς αὐλοῖς βομβεῖν. Ἔστι δὲ καὶ βυκίου εἶδος στενοστόμου. Gal. Gl. : βομβύλιον, ἔκπωμά τι στενὸν ἔχον τὸ στόμα ἢ πῶμα, παρὰ τὸ βομβεῖν ὠνομασμένον. – οὐκ (οὐκ om. vulg.) εὐρ. Mack. – οὐκ est clairement exigé par les gloses d'Érotien et de Galien, et tous les traducteurs ont rétabli la négation. — [6] ὁκ. HK. – ὁκόσον E. – ἐπίασιν (E, al. manu ἐπίωσι) K', Mack. – ἐπιᾶσιν Q', Lind. – πρώτω pro ποτῷ J. — [7] πν. EGHJK. – ὢν EHJK. – ῥηιδίως καὶ θᾶσσον ἀποδίδοι θ. — [8] ἶσον H. – πονέει EK. – ἢ EH IJKLθ, Lind. – ἢ om. vulg. – γάλατι (sic) IJ. – μικρὸν vulg. – σμικρὸν θ, Mack. – δὲ pro τε Jθ, Mack. — [9] δ' HKθ. – δ' om. vulg. – θάσσων (θᾶσσόν E)

douloureux, il faut prescrire un lavement et donner à boire à jeun aristoloche, hysope, cumin, silphion, mécon blanc (*euphorbia peplus*), fleur de cuivre, miel, vinaigre et eau Voilà, quant aux médicaments, comment il faut appliquer les premiers secours; quant au reste, voici ce qu'il faut faire : on lavera avec beaucoup d'eau chaude, selon la force du malade, excepté la tête; et quand les crises sont là, on échauffe avec des fomentations humides les parties douloureuses que l'on oint avec de l'huile. Quand les maladies sont au summum, il faut que le malade se tienne en repos, ainsi que le médecin pour les remèdes, afin de ne pas faire quelque mal. On donnera la décoction d'orge très-cuite, assez épaisse, avec addition de miel. Après les bains, on donnera aussi du vin doux, coupé, non froid, en petite quantité, le malade le boira avec un vase à goulot étroit. Quand la toux est active, boire et expectorer autant que possible; humecter par la boisson, afin que le poumon, étant humide, laisse sortir plus facilement et plus vite l'expectoration et afin que la toux soit moins pénible. Prenez le jus d'une grenade douce ou vineuse, mêlez-y un peu de lait de chèvre et de miel, et faites-en boire souvent et peu à la fois la nuit et le jour. Empêchez le sommeil autant que possible, pour que la mondification soit plus active et plus abondante. La pleurésie sanguine sera traitée ainsi; et, après les crises, on restaurera avec des aliments légers; le malade se tiendra en repos, et se gardera soigneusement du soleil, du vent, de la réplétion, des acides, des choses salées, grasses, de la fumée, des flatuosités abdominales, des fatigues, du coït; car, si la maladie récidive, elle sera mortelle. Pour l'expectoration, si le malade souffre et ne peut cracher, il prendra à jeun de la fleur de cuivre gros comme une olive

τε καὶ πλείων EHK. - θᾶσσόν τε καὶ πλεῖον vulg. — [10] δ' HK. - ὧδε sine χρὴ HKQ'. - οὕτω sine χρὴ θ, Mack. - ὧδε Lind. - δὴ Lind. - δὲ om. θ, Mack. - ἀνωκομίζειν (sic) E. — [11] καπνὸν om. K. - ἡ νοῦσος om. (H, restit. al. manu) θ. - ἀποθνήσκει (H, al. manu θάνατος ἕψεται) θ. — [12] μοτινάδα (Œ, al. manu κο) F (H, al. manu) JK. - ἀπὸ pro ὀποῦ θ. - σιλφίου τούτου (τούτου om., H restit. al. manu, θ) τὸ (τὸ om., H restit. al. manu, θ) ἥμισυ vulg.

καὶ ὀποῦ σιλφίου ἥμισυ, καὶ τριφύλλου καρποῦ ὀλίγον ἐν μέλιτι λείχειν· ἢ [1]πεπέρεος κόκκους πέντε καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ πίνειν χλιαρὸν νήστει δίδου· τοῦτο καὶ τὰς ὀδύνας παύει. Ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται [2]αὐτῷ καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιῤῥοφεῖν δὲ ὄξος κεκρημένον. [3]Ἄλλο ἰσχυρόν· ἄνθος χαλκοῦ ὅσον κύαμον καὶ νίτρον ὀπτὸν διπλάσιον καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιάνας [4]ἐν χηραμίδι, ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ. Καὶ ἐν περιπλευμονίῃ, ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. Ἢν δὲ μήτε ῥέγχῃ μήτε πτύῃ ὡς δεῖ, [5]καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι καὶ νίτρον ὀλίγον καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ μίξας τοῦτο χλιαρὸν ἐπιῤῥοφεῖν· τὴν δὲ ἄλλην ἡμέρην [6]ὕσσωπον ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν. Τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι καὶ μὴ δυναμένοισι καθαίρεσθαι. Εἰ [7]δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου καὶ νάπυος καὶ καρδάμου κόγχην [8]ἢ χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας, καὶ διηθήσας, ἐπιῤῥοφεῖν [9]χλιαρὸν δίδου. Οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα ὑγιέα γίνεται, ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ [10]πλεύμονι πῦος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ φρίκη ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ, καὶ εὐχροίη σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει· προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον [11]καὶ ἡ νοῦσος σάφα δηλοῦται. Τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερέων λάβοις,

[1] Πεπέρεως EGIJK, Mack. — [2] ἐν (ἐν om. θ) αὐτῷ vulg. – ῥέγχει K. – χηραμύδα HIK. – μίξας K. – ἐπιρροφῆν G, Ald., Frob. — [3] ἄλλο ἰσχ. om. P'. – λίτρον θ. – ὀπτὸν om. Lθ. – ὕσωπον HIJ. – σμικρὸν Mack. — [4] ἐν om. Lind. – χηραμύδι HIK. – ἀποπνηγῇ Frob. – περιπν. K. – θαίρηται (sic), al. manu καθαίρηται H. – δεῖ om. (H, restit. al. manu) P'θ. – ἐγχέειν pro ποιέειν EHK P'θ. — [5] καπάριος GI. – λίτρον θ. – ὀλίγον om. θ. — [6] ὕσσωπον θ. – ὕσσ. om. vulg. — [7] δ' EHK. – βούλοι τὸ ποιέειν (sic) θ. – ὑσώπου HIJ. — [8] ἢ om. Lind., Mack. – χηραμύδα HI. – Erot. Gl., p. 394 : χηραμίδα, τὴν κοίλην κόγχην, ἣν μύακα καλοῦμεν. Παρὰ τὸν Χηραμὸν δ' εἴρηται, ὅσπέρ ἐστι κοῖλος τόπος. Ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι, Τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληωρέας εὐνάς. Gal. Gl. : κόγχην, κεραμίδα· οὐδὲν πλέον δηλοῖ τῆς κεραμίδος. D'après cette glose de Galien, qu'il lit κόγχην χηραμίδα, οὐδὲν κτλ., Foes tire la conséquence qu'un peu plus haut (voy. p. 142, n. 1) la leçon est bonne. — [9] δίδου χλιαρὸν E. – νοσ. EHJK. – ὑγιὰ (sic) θ. – γίνεται HK. – γίνονται vulg.

sauvage, moitié autant de suc de silphion, et un peu de graine de trèfle (*psoralera bituminosa, L., d'après Fraas, p. 62*), en éclegme dans du miel, ou cinq grains de poivre, gros comme une féve de suc de silphion, miel, vinaigre, eau, à boire chaud à jeun; ce moyen apaise aussi les douleurs. Si le malade ne peut expectorer convenablement, si les matières s'arrêtent et qu'il y ait râlement dans la poitrine, prenez plein une coquille de la racine du grand arum, mêlez de l'huile et du miel, et par-dessus faites prendre du vinaigre coupé. Autre moyen énergique : fleur de cuivre, gros comme une féve; nitre cuit, le double; hysope, une pincée; mêlez avec du miel, versez un peu d'eau et d'huile, chauffez dans une coquille, infusez (*voy. p.* 5), afin que le malade ne soit pas suffoqué. Dans la péripneumonie aussi, si la poitrine ne se purge pas, employez le même moyen. Au cas où, sans avoir de râlement, le malade ne crache pas convenablement, prenez une pincée de câpres, du poivre, un peu de nitre, mêlez du miel, du vinaigre et de l'eau, et faites boire cela chaud; le reste du jour, il prendra de l'hysope bouilli dans du vinaigre, du miel et de l'eau; cela se donne aussi à ceux qui râlent et dont la poitrine ne peut se purger. Si vous voulez rendre la préparation plus active, pilez plein une coquille d'hysope, de moutarde et de cresson dans du miel et de l'eau, faites bouillir, filtrez, et donnez à prendre chaud. C'est traitées de la sorte que ces maladies guérissent, à moins que l'expectoration ne laisse dans le poumon un reliquat qui devienne du pus. D'une telle terminaison naissent des toux sèches, de la fièvre, du frisson, de l'orthopnée; la respiration est fréquente et pressée; la voix est un peu plus grave; au moment de la chaleur fébrile, le visage est bien coloré. Au bout d'un certain temps, la maladie se montre davantage et nettement. Si vous prenez un tel malade dans les dix premiers jours, vous l'échaufferez par le régime et le bain

— [10] πν. EGHJK. – πῦον θ, Mack. – ὀρθοπνοῖ θ. – πυκινὸν θ. – χροίη vulg. – εὐχροίη θ, Mack. — [11] καὶ om. J. – σαφῆς (sic) θ. – ἡμερῶν vulg. – ἡμερέων EHIJKθ, Lind., Mack. – λάβῃς vulg. – λάβοις HK. – εἰς E.

θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ ἐγχέαι ἐς τὸν [1]πλεύμονα ὅ τι πῦον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πῦον ἄγουσι, καὶ διαιτᾷν ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. Ἢν [2]δ' ἐν τῷ ἐγχύτῳ μὴ σήπηται καὶ ἀνάγηται τὸ πῦον, ῥήγνυται αὐτῷ ἐκ τοῦ [3]πλεύμονος ἐς τὸν θώρηκα, καὶ μετὰ [4]τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης ἐς τὴν εὐρυχωρίην ἦλθε τὸ πῦον, καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν ἕδρην ἔσχεν ἐν τῷ [5]πλεύμονι· προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦται, καὶ [6]αἵ βῆχες καὶ οἵ πυρετοὶ καὶ τἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, καὶ ἡ νοῦσος διαδηλοῦται. Τοῦτον μετὰ τὴν ἔκρηξιν ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, [7]ὅκως πάλιν πεπανθῇ τὸ πῦον· ἅτε γὰρ ἐς εὐρυχωρίην ἐλθὸν ἀνέψυξέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρηκι προσηγάγετο πρὸς ἑωυτὸ, [8]ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. Ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ [9]χρόνῳ, ἢ φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, [10]ἐν δὲ τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα σπεύδειν ἀναστῆναι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῶν ἐπιῤῥοῶν εἵνεκεν. Ἢν δὲ μὴ πτύηται, [11]ἀποσημήνῃ δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. Ἢν δὲ μήτε πτύηται μήτε [12]ἀποσημήνῃ ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ [13]νῆστιν καὶ ἄποτον, καθίσας ἐπὶ ἕδρης ἀκινήτου, ἕτερος [14]μὲν τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων πρὸς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει· βούλου δὲ μᾶλλον πρὸς τὰ

[1] Πν. GHJK. – διαιτᾷν ὧδε (ὧδε om. EIQ'θ, Lind., Mack) ὡς (ὡς om. J) vulg. — [2] δὲ τῷ vulg. – δ' ἐν τῶ EHKQ'θ, Mack. – σήπηται καὶ θ, Mack. – σήπηται καὶ om. vulg. – αὐτὸ vulg. – αὐτῶ H. — [3] πν. EGHIJK. – εἰς vulg. – ἐς EHK. – θώρακα EHK. — [4] τὴν om. FGJ. – εἰς vulg. – ἐς EHK, Lind. – εὐρυχωρίην EHIK, Mack. – εὐριχωρίην I. – εὐρυχωρίαν vulg. – πύος, al. manu ον H. – ὧ pro ὃ EHθ. — [5] πν. GIJK. – πύους HIJ. – πληροῦνται vulg. – πληροῦται EFHJKLθ. — [6] αἱ θ. – αἱ om. vulg. – οἱ θ. – οἱ om. vulg. – τὰ ἄλλα HK. – μᾶλλον πάντα G, Ald. – πιέζῃ E. – αὐτὸν om. θ. – ἐᾶσαι δὲ καὶ πέντε ἡμέρας θ. – δεκαπέντε ἡμέρας EHK. — [7] ὅπ. EHK. – εἰς vulg. – ἐς EHIK. – ἐλθὸν (ἐλθὼν J) τὸ πῦον (τὸ π. om. FGIJθ) ἀνέψυχέ (ἀνέψυξέ EHQ'θ, Lind., Mack) τε (ἀνέψυξέται sic K) vulg. – θώρηκι HIJ. – θώρακι vulg. – ἑωτὸ (sic) K. — [8] ὥστε καὶ αὐτὸ K. — [9] Post χρόνῳ addit λείπει L. – χρόνῳ, ἢν (addunt δὲ Lind., Mack) μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν vulg. – χρόνῳ ἢ φαρμάκοισι ἢ ποτοῖσιν θ. – Je prends la leçon de θ, en gardant τιμωρέειν. — [10] ἐν [δὲ] τῇσι Lind. – La correction de Lind. me paraît très-bonne. – τοῖσι J. – τελευταίοισιν GIJK. – τελευτέῃσι H. – ἡμέροισι J. – σπεύδειν δ' ἀναστῆναι Mack. – καθαρὰν E. – εἵνεκα vulg. – εἵνεκεν θ, Mack. — [11] Ante ἀπ. addunt

chaud, et vous infuserez dans le poumon ce qui fait sortir le pus; vous userez de tous les autres moyens qui ont cette propriété. Son régime sera celui des empyématiques. Vous dessécherez la tête afin que rien n'en découle. Si l'infusion faite dans le poumon ne mûrit ni n'amène le pus, l'abcès se fait jour du poumon dans la poitrine; après cette éruption, le malade paraît guéri, parce que le pus est passé d'un lieu étroit en un lieu large, et que l'air que nous respirons trouve à se loger dans le poumon. Mais, avec le temps, la poitrine se remplit de pus; la toux, les fièvres et toutes les autres souffrances accablent le malade plus que jamais, et la maladie devient manifeste. Après cette éruption, on laissera en repos le malade pendant quinze jours, afin que le pus mûrisse de nouveau; en effet, arrivant dans un lieu large, le pus s'est refroidi et a réuni à soi le liquide préexistant dans la poitrine, de sorte qu'il n'est plus qu'à une demi-maturation. Si donc, dans cet intervalle, le malade commence à expectorer spontanément, on secondera ce mouvement soit par les remèdes, soit par les boissons, et, dans les derniers de ces quinze jours, on se hâtera de le lever avant qu'il soit exténué davantage, maintenant la tête mondifiée à cause des écoulements. S'il ne crache pas, mais qu'il y ait des signes au côté, on incisera ou cautérisera. S'il n'y a ni expectoration ni signes au côté, on lavera, avec beaucoup d'eau chaude, le malade qui n'aura ni mangé ni bu, on l'assoiera sur un siége immobile, un aide le prendra par les épaules, et vous, secouez-le, appliquant l'oreille à la poitrine, afin de reconnaître de quel côté est le signe. Souhaitez de préférence que ce soit à gauche; car il est plus

μήτε (E, obliter. al. manu) FG (K, punctis notatum). – ἀποσημαίνηται vulg. – ἀποσημαίνεται K. – ἀποσημήνη θ. – δὲ om., restit. al. manu E. – δ' ἐς θ. – πρὸς pro ἐς I. – ταμέειν.... πλευρὰς om., restit. al. manu cum ἐς τὰς πλευρὰς ἀποσημαίνηται E. – καύσειν GI. — [12] ἀποσημαίνηται vulg. – ἀποσημήνη θ. – λοῦσαι θ. – καὶ om. JL. — [13] Ante νῆστιν addit καὶ θ. — [14] μὲν EHKθ. – δὲ pro μὲν vulg. – σειέτω K. – τοῦτον om. (H, restit. al. manu) θ. – πρὸς EHIKLQ'θ, Lind. – ἐς vulg. – ἢν pro ἵν' H. – ἴδῃς HK. – ὁποτέρωθεν EGHIJK, Ald. – πρὸς τὰς ἀριστερὰς FGHIKLθ, Lind.

ἀριστερά· θανατωδέστερον γὰρ [1] καίειν καὶ τάμνειν πρὸς τὰ δεξιά· ὁκόσῳ [2] γὰρ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. [3] Ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μηδὲ ψόφος ᾖ ἐν τῷ στήθεϊ, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα καὶ οἱ πόδες ἐποιδέωσι, καὶ βήχιόν τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου· [4] ἐς οὖν ἐρετριάδα γῆν ὑγρὴν καὶ λείην τετριμμένην καὶ χλιαρὴν ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα, καὶ [5] ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος [6] αὐτῶν τῶν φρενῶν. Ἢν δὲ βούλῃ, ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ, πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. Μετὰ δὲ τὴν τομὴν ἢ τὴν [7] καῦσιν τῷ μοτῷ τῷ ἐκ τοῦ ὠμολίνου χρῶ, καὶ ἐξίει κατ' ὀλίγον τὸ πῦον. [8] Ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τωὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν μέλλῃς ἔχοντα καίειν ἢ τάμνειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γενόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος· καὶ τὰς [9] βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσουσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, κακὸν γὰρ, ἀλλ' ὡς τάχιστα [10] ὑποξηραίνεσθαι· ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦν, καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ [11] τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. Ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων [12] καὶ ἐκ περιπλευμονίης καὶ ἐκ καταῤῥοῶν μεγάλων ἐκπυήσιας, [13] καὶ

[1] Καίειν καὶ τάμνειν πρὸς τὰ δεξιὰ EHK (θ, ἐς τὰς δεξιάς). – πρὸς τὰ δεξιὰ καίειν ἢ (καὶ pro ἢ Q') τάμνειν vulg. – ὁπόσῳ GHIJK, Ald. — [2] γὰρ αὐτὰ (αὐτὰ om. θ) vulg. – νοσ. EHK. – ἐν om. θ. – γίνεται EHKθ. — [3] εἰ GI, Ald. – πάχυος (sic) GIJ. – πύον pro ὑγρὸν θ, (Mack, πῦον). – μηδὲ ψοφέῃ ἐν θ. – μήτε ψοφέῃ ᾖ ἐν Mack. – στήθει vulg. – στήθεϊ EHK. – πυκινὸν δὲ ἕλκει θ. – ἐποιδέωσι EHKθ. – οἰδέωσι vulg. – βηχίον IJK. – θώρακα E. — [4] ἐς τὴν (γῆν pro τὴν E; οὖν pro τὴν θ) ἐρετρίδα (συνερετρίδα pro τὴν ἐρετρίδα FGIJK) (ἐρετρίαδα θ, Lind., Mack) γῆν (τὴν pro γῆν EFHIJKθ; γοῦν pro γῆν Lind.) ὑγρὴν vulg. – λίην vulg. – Lisez λείην. — [5] ὅπ. EHK. — [6] αὐτῷ J. – βούλει HJK, Ald., Frob., Lind., Mack. – ἐρετρίδι E. — [7] κλύσιν θ. – τῷ (τῷ om. vulg.) ἐκ EHKP'θ. – ἐξίῃ vulg. – ἐξίει EHK, Mack. — [8] ὁπ. EHK. – καίειν ἢ τάμνειν HK. – ὑποσημαίου EIJ. – τωὐτὸ H. – τὸ αὐτὸ vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν ὁκόταν (ὁπ. E) μέλλῃς τάμνειν ἢ καίειν (καίειν ἢ τάμνειν EK) vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν (addit ὁκόταν al. manu H) μέλλῃς ἔχοντα καίειν ἢ τάμνειν H (θ, τάμνειν ἢ καίειν). – Le texte de vulg. ne peut subsister; celui de H, avant l'addition par une autre main, et de θ est le bon. L'auteur veut dire qu'au moment de l'opération il faut s'assurer si le patient a l'at-

dangereux de cautériser ou d'inciser à droite; en effet, autant le côté droit l'emporte en force, autant les maladies de ce côté l'emportent en intensité. Si, en raison de la densité, le liquide n'a pas de fluctuation et qu'il ne se produise pas de bruit dans la poitrine, mais que le malade ait la respiration précipitée, les pieds enflés et une petite toux, ne vous laissez pas tromper et sachez bien que la poitrine est pleine de pus. Alors prenez de l'argile d'Érétrie humide, bien broyée et chaude, trempez-y un linge léger, enveloppez-en circulairement la poitrine, et, là où le linge se séchera d'abord, il faut inciser ou cautériser aussi près que possible de la cloison phrénique, mais évitant cette cloison. Si vous voulez, contentez-vous d'enduire la poitrine avec la terre d'Érétrie, et examinez comme avec le linge; mais il faut que plusieurs enduisent en même temps, afin que les parties enduites d'abord ne se sèchent pas. Après l'incision ou la cautérisation, servez-vous de la tente de lin écru, et faites sortir le pus peu à peu. Quand vous allez inciser ou cautériser, observez que le patient conserve la même attitude où vous l'avez mis pour opérer, afin que la peau, élevée ou abaissée par le changement d'attitude, ne soit pas une cause d'erreur. On se défendra contre les toux par le régime, de peur qu'elles ne rappellent le pus dans le poumon; cela serait mauvais; il faut au contraire dessécher au plus vite. Au douzième jour, on évacuera tout le pus restant, on fera la tente en linge; on évacuera le pus deux fois par jour, et on desséchera autant que possible par le régime le ventre supérieur (*poitrine*). C'est de cette façon qu'il faut examiner et traiter les suppura-

titude qu'il doit avoir et que l'opérateur lui avait donnée au moment de commencer. Il faut donc supprimer ὁκόταν de vulg., et recevoir ἔχοντα de H et de θ. — [9] βήχας (sic) IJ. – φυλάττειν J. – ἀντισπάσωσι vulg. – ἀντισπάσουσι θ. – ἐς τὸν πλ. om. θ. – πν. EGHJK. – ἀλλ' ἐᾷν κατὰ τὴν τομὴν (ἐᾷν κ. τὴν τ. om. θ) ὡς vulg. — [10] ἀποξ. J. – δεκαταῖος K'. – Post ᾗ addit κεκαυμένος θ. – ὑπόπυον pro πῦον θ. – μοτοῦ vulg. – μοτοῦν K'θ, Mack. — [11] τῆς om. J. – ὡς om. θ. — [12] καὶ τὰς (τὰς om. θ) ἐκ τῆς (τῆς om. θ) περιπλ. (περιπν. GJK) vulg. – ἐκποιήσιας GI. – ἐκποιήσειας J. — [13] καὶ [ἐκ] πρ. Lind. – πνεύμονος GJK.

προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν.

17. [1]Ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν, [2]ὁκόταν βούλῃ· πολλὰ δὲ ἀπεργάζεται· τὰ μὲν γὰρ οὔρησιν [3]ποιέει, τὰ δὲ διαχώρησιν, τὰ δὲ ἄμφω, τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον ὡς [4]ἄγγος ὕδατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ [5]ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγῃ· δίδου δὲ ἄλλα ἄλλοισιν· οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνὰ, οὔτε τὰ αὐτὰ πίνειν δύνανται. [6]Τοῦτο μὲν, κηρίων ξηρῶν ὅσον δύο κοτύλας βρέχων ὕδατι καὶ ἀνατρίβων γευέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται, εἶτα διηθήσας, σέλινα [7]ἐμβαλὼν, δίδου πίνειν. [8]Τοῦτο δὲ, λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἑψεῖν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζεστον, ἵνα ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. [9]Τοῦτο δὲ, μελικρήτου ὑδαρέος καθεψήσας τὸ ἥμισυ λείπειν· ἔπειτα σέλινα ἐπιβαλὼν, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. [10]Τοῦτο δὲ, κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν ἀθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα, ἕψει, καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων, δίδου πίνειν. [11]Τοῦτο

4. [1]Ἢν ἐν [2]πλεύμονι κιρσὸς ἐγγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει, καὶ ῥῖγος, καὶ πυρετὸς, κατ' ἀρχὰς μὲν τῆς νούσου πάνυ σφόδρα· ἔχει δὲ καὶ ὀρθοπνοίη, [3]καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη ἐνέστηκε, καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι, καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον καὶ ἐς τὰ στήθεα καὶ ἐς τοὺς πόδας· πολλάκις δὲ [4]καὶ ἐς τὴν κεφαλὴν ἐρείδει, καὶ ὑπὸ τῆς ὀδύνης, ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορῆν· [5]τὸ δὲ σῶμα ὕπωχρον, καὶ αἱ φλέβες δι' αὐτοῦ διατείνουσιν ἢ φλόγιαι ἢ μέλαιναι. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ καὶ ὁ πόνος μάλιστα [6]πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν· ἔπειτα λουειν πολλῷ καὶ θερμῷ, καὶ ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς [7]ἡδίστῳ, ἴσον ἴσῳ κεράσας· ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν· ῥοφήμασι χρέεσθαι πτισάνης χυλῷ καθέφθῳ, μέλι χρηστὸν παραχέας. Ταῦτα χρὴ προσφέρειν ἐν [8]τῇσι πρώτῃσι τῶν ἡμερέων [9]τῇσι τεσσαρεσκαίδεκα. Ἢν δὲ ἐπὶ πλεῖον ἡ νοῦσος ἔχῃ, ὅ τε πόνος πλείων [10]ᾖ ἐν τῷ σώματι καὶ ἀδυναμίη ἐνῇ, τούτῳ [11]δὴ οὕτως ἔχοντι ταὐτὰ προσφέρειν, ἃ καὶ ἐν τῷ πυοῤῥοοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. [12]Αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης.

5. [13]Ὁκόταν τὰ κοῖλα φλέβια τὰ διέχοντα ἐν τῷ [14]πλεύμονι πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυῤῥήξῃ τε τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπειλημμένα καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ [15]πλεύμονι. Αὕτη ἡ νοῦσος χαλεπὴ καὶ θερα-

[1] Ἐὰν ἐν πνεύμονι κιρσὸς ἐγγένηται G. – περὶ κιρσοῦ ἐν πνεύμονι K. — [2] πν. EGHJK. – νόσου vulg. – νούσου E. – σφόδρα om. θ. — [3] καὶ ἐν τῇ κεφαλῇ ἐνέστηκε vulg. – καὶ [ὀδύνη] ἐν τῇ κ. ἐνέστ. Lind. – καὶ ἐν τῇ κ. ἡ ὀδύνη ἐνέστ. θ, Mack. – ἐπικρέμμασθαι GIJ. – οἰδήματα al. manu H. — [4] καὶ om. J. – ἐπὶ E (H, al. manu ἐς) Q'. — [5] τό τε vulg. – τὰ δὲ Eθ, Mack. – ὕπωχρος vulg. – ὕπωχρον θ, Mack. – In marg. eadem manu γέγρ. καὶ ὑποχόνδριον H. – δι' om. θ, Mack. – τείνουσιν vulg. – διατείνουσιν θ, Mack. – φλογιαὶ Lind., Mack. – Gal. Gl. : φλεγεαὶ, ἐρυθραί. — [6] πιέζει EG (H, al. manu πιέζῃ) K, Ald. – πρῶτον.... μέλι χρηστὸν om. FGIJ. – ὀπόταν E. — [7] ἥδιστα (E, al. manu ἡδύστω) L. – μίξας pro κεράσας θ. – πτισσ. E. – κακέφθω (sic), al. manu θέ E. – κατέφθῳ Ald. – χρηστὸν om. θ. — [8] τῇσι om. θ, Mack. — [9] τῇσι om., al. manu ταῖς H. – ταῖς EGIJK. – δὲ om., restit. al. manu H. — [10] ᾖ om. (H, al. manu ἐστὶν) θ. – ἐστὶν pro ᾖ EFGIJK, Ald. – καὶ ἡ ἀδυναμίη sine ἐνῇ θ. — [11] δὲ EGIJK, Ald. – δὴ om. Hθ. – οὕτως om., restit. al. manu H. – ταῦτα vulg. – ταυτὰ Mack. – τὰ pro ἐν Ald. – πυοῦντι vulg. – πύω,

pus se manifeste le mieux, une incision ou une cautérisation, et évacuez du liquide, en petite quantité d'abord. Du reste, on fera tout ce qui est écrit pour le précédent empyême.

4. (*Affection indéterminée du poumon. Comp.* Des Maladies, livre premier, § 14. *Un auteur italien,* t. VI, p. 139, *a pensé qu'il s'agissait des anévrysmes internes de la poitrine.*) Si dans le poumon se forme une varice, il survient une toux sèche, du frisson, de la fièvre, qui est très-intense au début de la maladie. Il y a aussi de l'orthopnée. Une douleur se fixe dans la tête; les sourcils semblent pesants; du gonflement vient au visage, à la poitrine et aux pieds. Souvent le mal se fixe à la tête, et par la force de la douleur, quand elle presse, le malade n'y voit plus. Le corps est jaunâtre, et les veines s'y prolongent ou d'un rouge de feu ou noires. Quand il en est ainsi et que la souffrance est le plus intense, on commence par tirer du sang; puis on lave avec beaucoup d'eau chaude; s'il y a soif, on donne à boire un cycéon dans du vin noir, astringent, très-agréable, coupé de moitié d'eau. Il faut surtout boire froid. Pour potage le malade aura la décoction d'orge bien cuite, avec addition de bon miel. On fera ces prescriptions dans les quatorze premiers jours. Si la maladie se prolonge, si la souffrance augmente et qu'il y ait faiblesse, on traitera comme dans le cas du poumon purulent après les quatorze jours. Cette maladie est produite par la fatigue et par la bile noire.

5. (*Emphysème pulmonaire?*) Quand les veines creuses qui traversent le poumon sont remplies de sang ou de bile noire, et qu'elles font éruption l'une dans l'autre, étant en lieu étroit,

al. manu πυορροῦντι H. - πυορροοῦντι EKP'Q', Lind. - ἐμπύω θ. - πνεύμονα EGJK. - ὁκόταν.... παρέλθωσιν om., restit. al. manu E. — [12] αὕτη ἡ νοῦσος μάλιστα γίνεται ἀπὸ ταλαιπωρίης καὶ αἵματος καὶ χολῆς μελαίνης θ, Mack. — [13] ἄλλη νοῦσος GIQ', Lind. - φλεβία E. — [14] πν. EGHJK. - ξυνρήξηται τὰ vulg. - ξυρρήξεται τὰ θ, Mack. - συρίζητε τὰ P'. - ξυῤῥήξῃ τε τὰ Lind. - συρρήξει τε τὰ HK. - συρίξη τὰ, al. manu ξυρρήξη τε τὰ E. - συνρήξη τε τὰ IJ. - στενοῖς K. - ἐπηλειμμένα G. - ἐπηλημμένα Ald. — [15] πν. EGJK. - θεραπηΐης E. - θεραπείης vulg. - θεραπείη γενομένη, al. manu θεραπείης δεομένη J. - δέεται EHK. - πουλλῆς G, Ald. - τὸν κάμν. om., restit. al. manu H. - ἀλλ' ὡς pro καὶ ὡς (H, al. manu) K. - συναπ. EHIJK.

πηΐης δεομένη πολλῆς· εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα, καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

6. [1] Ἢν [2] φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων κεφάλων καὶ ἐγχελύων· ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν [3] τοῦ ἀνθρώπου· ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁκόταν μιγὲν τῷ αἵματι ἐπιῤῥυῇ ἐπὶ τὸν πλεύμονα· προσπίπτει δὲ καὶ ἐκ κρεηφαγίης καὶ ἐξ ὕδατος μεταβολῆς. Τάδε οὖν πάσχει· βήσσει ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν [4] καὶ πολλὸν, πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, οἷον ἀπὸ βράγχου· καὶ ὀδύνη πιέζει ὀξείη ἐς τὰ στήθεα καὶ τὸ μετάφρενον καὶ τοὺς [5] κενεῶνας καὶ τὰ πλευρὰ, καὶ ἐρεύγεται ὀξὺ, καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων οἷον γαστὴρ τρυλλίζει, καὶ ἐμέει λάπην ὀξείην, καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς [6] χαμάζε, ζύει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ ἤν τι θέλῃ λιπαρὸν φαγέειν, μύζει πρὸς τὰ σπλάγχνα καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει· ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥᾴων εἶναι· ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη καὶ στρέφει καὶ [7] βορβορύζει. Τοῦτον ὁκόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε μελέτην· μίξας μέλι καὶ γάλα καὶ ὄξος καὶ ὕδωρ, ταῦτα ἐγχέας [8] ἐς χυτρίδα χλιαίνειν, καὶ ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ταράσσειν· [9] ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν, ἢ λαβόμενος τῆς γλώσσης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος· εἶτα κελεύειν συνειληθέντα ἡσυχίην ἔχειν· ἔπειτα ἢν ἔμετος [10] ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως· ἢν δὲ μὴ

[1] In tit. ἐὰν φλεγμονὴ ἐν πνεύμονι γένηται G. – περὶ φλεγμονῆς πνεύμονος K. – περὶ τοῦ γινομένου ἐρυσιπέλατος ἐν τῷ πλεύμονι καὶ πόθεν γένηται θ. – Gal., t. XVII, p. 430, cite ce chapitre sous le titre de péripneumonie. — [2] δ' ἐρυσίπελας pro φλεγμονὴ θ. – ἐν τῷ θ. – πν. GJK. – γαστρημαργίης I. – γαστρομαργίης J. — [3] τῶν ἀνθρώπων E (H, al. manu) K. – νόσ. EHK. – καὶ ἀπὸ θ, Lind., Mack. – πν. GJK. – κρεηφαγίης EHK. – κρεωφαγίης Lind., Mack. – κρεοφαγίης vulg. — [4] καὶ πολλὸν om. Lind. – βρόγχου Lind. — [5] κυκεῶνας E. – πν. GJK. – τρύζει θ, Mack. – τριλλίζει GJ. – ὀξύην J. – Ante ἢν addit καὶ obliter. al. manu H. — [6] χαμαὶ vulg. – χαμάζε θ, Mack. – ἐπιχέαντι θ. – αἱμοδιᾷ (H, al. manu μω) IJ, Ald., Frob. – θέλλῃ H. – ῥάον (sic) J. – ὀψέτερον E. – ὀψαίτερον P′Q′, Lind., Mack. — [7] βορβορύζῃ G. – οὕτως ὁκόταν E. – καὶ.... προσαίρειν om. θ. – δοκέει GIJ. – μελετῆν Hθ, Mack. – μετᾶν (sic), al. manu μελετᾶν E. — [8] εἰς HIJK. — [9] ἔπειτα ὁκόταν χλιαρὸν ᾖ θ, Mack. – ἐκπιεῖν HK. – γλώττης vulg. – γλώσσης EHK, Mack. – συνειληθέντα

resserrées et n'ayant pas d'issue, il survient de la douleur et de l'air dans le poumon. Cette maladie est difficile et demande beaucoup de soins; si elle n'est pas bien soignée, elle ne quitte guère le malade, et d'ordinaire ne finit qu'avec lui.

6. (*Quoique la maladie suivante soit dite érysipèle du poumon, cependant c'est celle-ci qui répond à l'Érysipèle du poumon du* Deuxième livre des Maladies, § 55.) Si une phlegmasie se forme dans le poumon, elle est surtout causée par les excès de boire et par trop manger de certains poissons, tels que les céphales (*mugil cephalus*) et les anguilles, qui contiennent en effet la graisse la plus contraire à la constitution de l'homme. Le phlegme seul suffit à produire cette maladie, quand, mêlé au sang, il se jette sur le poumon. L'alimentation par la viande et le changement d'eau la produisent aussi. Voici les accidents : le patient tousse fortement, l'expectoration est aqueuse et abondante, parfois épaisse et blanche comme dans un rhume. Une douleur aiguë se fait sentir à la poitrine, au dos, aux flancs et aux côtes. Il a des rapports aigres; la poitrine et le poumon rendent un gargouillement comme le ventre; il vomit une pituite acide; la matière vomie, versée à terre, y fait effervescence comme le vinaigre et elle agace les dents. Il y a frisson, fièvre, soif intense. S'il mange quelque chose de gras, cela cause des gargouillements et provoque le vomissement; le corps tout entier est engourdi. Après le vomissement, le patient paraît être un peu plus à l'aise; puis, quand il arrive au soir, le ventre gargouille, a des tranchées et des borborygmes. Quand il en est ainsi et que l'occasion paraît favorable, on entame de la sorte le traitement : mêlez du miel, du lait, du vinaigre et de l'eau, versez dans un pot, chauffez, remuez avec des rameaux de l'origan à tête; quand le tout est chaud, faites boire, ou, prenant la langue, infusez (*voy. p.* 162) lentement par une canule : cela fait, recommandez l'insolation et le repos; si le vomissement sur-

EHKθ, Mack. - συνειλισθέντα vulg. — [10] ἐπίη, al. manu ἐπέλθῃ H. - ἔλθῃ θ. - ἐμείτω θ. - καταματτεύεσθαι θ, Mack.

ἐπέλθῃ, καταματτευόμενος πτερῷ [1]ἐμεέτω, καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ [2]ποιεέτω· ῥάων γὰρ ἔσται οὕτω ποιῶν. Πινέτω δὲ τοῦτο γυμνασάμενος, ἢν οἷός τε ᾖ, καὶ λουσάμενος [3]πολλῷ θερμῷ· ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. Ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρώϊος νῆστις πινέτω ἐν μελικρήτῳ [4]ἢ οἰνομέλιτι ὀπὸν σιλφίου ὁκόσον ὄροβον, καὶ σκόροδον τρωγέτω καὶ ῥαφανῖδας νῆστις, καὶ ἄκρητον οἶνον ἐπιῤῥοφανέτω μέλανα ἢ λευκὸν αὐστηρόν· πινέτω δὲ καὶ ἐπὶ σίτῳ καὶ μετὰ τὸ σῖτον· σιτίοισι δὲ ξηροῖσι καὶ κρέασιν [5]ὀνείοισιν ἢ κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. Οὗτος ἢν [6]μὲν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι· [7]ἢν δὲ μὴ, ἄνω αὐτὸν καθαίρειν ἐλλεβόρῳ· μετὰ δὲ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν μέλι παραχέας· οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. [8]Ἢν δὲ μὴ κατ' ἀρχὰς παραγένῃ τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον· οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. Ἢν δὲ μὴ καυθῇ, [9]ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ' [10]ἕως γήρους προσέχει· πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ· ἀλλὰ χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης, καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πινέτω βοὸς καὶ αἰγὸς καὶ ὀνείου καὶ ἱππείου· οὕτω γὰρ ἂν ῥήϊστα διάγοι· ἡ δὲ νοῦσος χαλεπή.

7. [11]Ἢν πλεύμων [12]ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ, τόδε τὸ οἴδημα μάλιστα [13]ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα

[1] Ἐμείτω EGHIJK, Ald., (Frob. ἐμέτω). — [2] πιεέτω· ῥάον (sic) J. – τοῦτο pro οὕτω J. – οὕτω π. om. (H, restit. al. manu) θ. — [3] π. καὶ θ. EHK. – εἰ EH. — [4] ἢ om. (E, restit. al. manu) FGHIJK, Ald. – οἰνωμέλιτι E. – οἴνω μέλιτι FHIJK, Ald. – ὀποῦ vulg. – ὀπὸν EGHIJK, Ald. – ὅσον E. – ῥαφανίδας (ubique) EHIJK, Ald., Frob., Lind., Mack. – ἐπιῤῥυμφανέτω GK, Ald. – ἐπιρυμφανέτω HIJ. – ἐπιρυφανέτω E. — [5] ὀν. ἢ θ, Mack. – ὀν. ἢ om. vulg. – κυνίοισι H. — [6] μὲν θ, Mack. – μὲν om. vulg. – τοιοῦδε om., restit. al. manu H. – τε pro τι K. — [7] εἰ HK. – καθῆραι EHKP'Q', Lind., Mack. – ἐλεβ. Ald. – παρεγχέας EP'Q', Lind., Mack. — [8] εἰ EHK. – παραγένῃ θ, Mack. – παραγένηται vulg. – τὰ στήθεα..... νεφροῦ p. 455, l. 15 om. θ. — [9] σ. EIJK. – προσέχει, al. manu συμπαραμένει H. – καὶ οὐ μάλα, al. manu καὶ ἅμα H. – μα, al. manu μάλα E. — [10] ἐς τὸ γῆρας, al. manu ἕως γήρους H. – ξυναπ. Lind., Mack. – χρεία μελεδώνης μάλιστα καὶ, al. manu χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης καὶ H. – πολλὴ FGJ, Ald. – μελεδαίνης FGJ, Ald. – ἱππίου J. – ἂν om. J. — [11] ἐὰν vulg. – ἢν EHJK, Lind. – ὁ πλ. Lind., Mack. – πν. JK. — [12] ἐκ J. – ἐξ Lind. – τοῦτο τὸ EFG (H, al. manu) JKP'. – τὸ [μὲν] οἴδημα sine τόδε

vient, que le malade s'y laisse aller hardiment; sinon, on le provoquera en chatouillant la gorge avec une plume. Rejette-t-il un peu de pituite? il recommencera pendant cinq jours; car cela le soulagera. Il prendra ce remède après avoir fait de l'exercice, s'il est en état, et après s'être lavé avec beaucoup d'eau chaude. S'il n'est pas en état, qu'il se soit du moins lavé avec l'eau chaude. Les cinq jours étant passés, il boira, le matin à jeun, dans du mélicrat ou de l'œnomiel, gros comme un grain d'ers de suc de silphion; il mangera de l'ail et des raiforts à jeun; par-dessus il prendra pur un vin noir ou blanc, astringent. Il boira aussi en mangeant et après. Il usera d'aliments de qualité sèche, viandes d'âne et de chien bouillies, si le frisson et la fièvre ne le saisissent pas. Si après une pareille infusion il y a quelque mondification, cela est bien; sinon, on l'évacuera par le haut avec l'hellébore. Après l'évacuation on lui donnera deux oxybaphes (*oxybaphe* = 0^{litre},68) de farine cuite avec addition de miel. Il boira le même vin coupé d'eau. Si vous n'êtes pas appelé dès le début de la maladie, faites prendre au malade de l'embonpoint avec le lait, et cautérisez la poitrine et le dos; c'est de cette façon surtout qu'il sera délivré de la maladie. Si on ne cautérise pas, elle persiste sans grande chance de terminaison, et dure jusqu'à la vieillesse; souvent même, au cas où le malade ne succombe pas dans les quarante premiers jours, elle ne se prolonge que pour l'enlever plus tard. Les plus grands soins sont nécessaires; et, dans la saison, le malade boira du petit lait et du lait de vache, de chèvre, d'ânesse et de jument; c'est de cette façon qu'il ira le mieux. Mais la maladie est difficile.

7. (*Ceci, quoiqu'il soit question de l'érysipèle du poumon, répond au Poumon rempli du* Deuxième livre des Maladies, § 58, *et au Poumon se gonflant par la chaleur du* Troisième livre des Maladies, § 7.) Si le poumon se gonfle par l'érysipèle, ce gonflement provient surtout du sang, quand le pou-

Lind. – τὸ δὲ τὸ Ald. – τόδε τὸ om. Q'. — [13] ἀπὸ τοῦ αἵμ. E. – πν GJK. – νόσ. EHK.

καὶ ἔχῃ ἀναλαβών· τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. Τάδε οὖν ἀπ' αὐτοῦ πάσχει· βὴξ [1]ἐμπίπτει ξηρὴ, καὶ ῥῖγος, καὶ πυρετὸς, καὶ ὀρθοπνοίη, καὶ ὁ πόνος ἰσχυρὸς ἐν [2]τοῖσι στήθεσι, καὶ τὰς ῥῖνας ἀνοίγει ὡς ἵππος δραμὼν, καὶ τὴν γλῶσσαν ἐξίσχει ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος [3]τοῦ ἐν τῷ καύματι καιόμενος, καὶ οἴδημα κατέχει τὰ στήθεα, καὶ [4]φθέγγεται βραχέως, καὶ ἐρύθημα καὶ κνησμὸν τῷ σώματι φέρει, καὶ ὑπὸ [5]τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐτὸς [6]ἑωυτὸν ῥίπτει ἀλύων. Οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει [7]μάλιστα· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι [8]ἐν τούτοισι· ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον, ἢ ῥάκια βάπτων ἐν [9]ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. Κἢν μὲν οὕτω ῥηΐσῃ· ἢν [10]δὲ μὴ, κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν, καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. Οὕτω γὰρ [11]ἂν μελετώμενος πολλάκις ἂν φύγοι τὰς ἑπτὰ ἡμέρας. Ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ ἡ ὀδύνη [12]προσέχῃ, χρίων ἐν ἐλαίῳ τὸ πονέον μέρος ἔσω, καὶ χλιάσματα μάλιστα προστίθει τὰ αὐτὰ, ἃ [13]καὶ τῇ πλευρίτιδι, καὶ πῖσαι αὐτὸν ἐς ὑποκάθαρσιν τῷ τοῦ πεπλίου καὶ τῆς μηκωνίδος καὶ τοῦ κόκκου τοῦ κνιδίου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι, πινέτω [14]δὲ ὕδωρ. Τῇ δὲ ὑστεραίῃ λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς· ἔπειτα πῖσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας· ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω· σιτία δὲ προσφερέσθω τὰ αὐτὰ ταῦτα, ἃ καὶ [15]ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλω-

[1] Ξηρὴ ἐμπ. EHK. — [2] τῆσι H. – πιναὶ (sic), al. manu ἀνοίγει H. – γλῶσσαν HK, Mack. – γλῶτταν vulg. – ἐξίσχει E (H, al. manu ἐξαίρει) P'Q'. – ἐξαίρει vulg. – ἐξεράει Lind. — [3] τοῦ ἐν τῷ κ. κ. om., in marg. eadem manu γέγρ. καὶ ὑπὸ καύματι, al. manu τοῦ ἐν τῷ καύματι καιόμενος H. – τὰ στήθεα κατέχει EHK. — [4] φλέγεται Martinus ex Asulano codice, Mack. – βραδέως E. – καὶ ἐρύθημα ἐν τῇ ὄψει (ἐν τῇ ὄψει om., restit. al. manu H) καὶ κνησμὸν φέρει ἐν (ἐν om. GIJ) τῷ σώματι (ἐν τῷ σώματι φέρει EHK) vulg. — [5] τοῦ om., restit. al. manu H. — [6] ἑαυτὸν EIJ. – αὐτὸν, al. manu ἑαυτὸν H. – ῥύπτει JK. – θνήσκει ἐν ἑπτὰ ἡμ. EHK. — [7] μάλιστα· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει. Τοῦτον EHKP'Q', (Lind., Mack, qui habent Τοῦτον καταρχάς). – πλὴν καταρχὰς pro μάλιστα.... τοῦτον vulg. — [8] ἐν τούτοισι [δὲ] Lind. – ψύχειν μὲν τὸ σῶμα om. K. – μὲν om., restit. al. manu H. – ἐν ὕδ. ψ. β. ponitur post σεῦτλα H. – τεῦτλα EHIJK. – τεῦτλα προστίθεται μάλιστα πρὸς πόνον νέον τῷ σώματι, deletis καὶ τῷ σώματι ἐπιτιθεὶς μάλιστα πρὸς πόνον νέον P'Q'. – προστιθέναι μάλιστα pro καὶ τῷ σ. ἐπ. μάλιστα EHK. – Post νέον addit μάλιστα, mut. al. manu in τῷ σώματι H. – Post νέον ad-

mon attire du sang à soi et, l'ayant pris, le retient. Cette maladie naît surtout en été. En voici les accidents : toux sèche, frisson, fièvre, orthopnée, douleur intense dans la poitrine. Le patient ouvre les narines comme un cheval qui court; il tire la langue comme un chien qui, en été, est brûlé par la chaleur de l'air; il a du gonflement à la poitrine; il parle à peine; le corps est rouge et démange; la souffrance l'empêchant de rester en repos, il est en proie à la jactitation. Ce malade succombe d'ordinaire en sept jours; s'il passe ce terme, il n'est plus guère exposé. Les choses étant ainsi, on le traitera de cette façon : rafraîchir le corps, en appliquant des bettes trempées dans l'eau froide, surtout quand la douleur est récente, ou des linges mouillés avec l'eau froide et exprimés. Si l'état s'améliore par ces moyens, cela est bien; sinon, on appliquera la terre de potier froide, et le malade dormira à l'air. Traité de cette manière, il arrive souvent qu'un malade aille au delà des sept jours. Ce terme passé, et la douleur persistant, oignez d'huile la partie douloureuse, et faites en somme les mêmes applications que pour la pleurésie. Il prendra, pour une purgation modérée, le peplion (*euphorbia peplis*, L.), la meconis (*euphorbia retusa*, L.), et le grain de Gnide (*daphne Gnidium*, L.); après l'évacuation, il avalera un oxybaphe de bouillie de lentilles. Il boira de l'eau. Le lendemain on le lavera avec beaucoup d'eau chaude, excepté la tête; puis il prendra de l'origan macéré dans le mélicrat. Ses boissons seront aussi chaudes que possible. Ses aliments seront les mêmes

dunt τῶ σώματι EK. — [9] ὕδατι ψυχρῶ EHK. — [10] εἰ EHIJ. - ἐθρίη, al. manu αἰ H. — [11] Post ἂν addunt μάλιστα EH. - μελεδώμενος vulg. - μελεδαινόμενος P'. - μελετώμενος EGHIJK, Ald. - πολλ. om. HK. - φύγη FGIJ, Ald., Frob. - ἐκφύγῃ Lind., Mack. - φύγοι ἂν K. — [12] προέχῃ K. - χρίειν (χρίων ἐν EFG IJK, Ald.) ἐλαίω τὸ π. μ. ἔσω (εἴσω Mack; ἔσο E, H al. manu, IJK) vulg. - χλιάσματι J. - μάλιστα om., restit. al. manu H. - προστιθέναι EHK. — [13] καὶ om. FGJ. - Ante πῖσαι addit τῶδε H. - πῖσαι E. - πίσαι vulg. - ὑποκ., al. manu ἀπ H. - ἀποκ. K. - ἐν τῶ EGJK. - τῷ om., al. manu ἐν τῶ H. - μηκωνίδος EHKK', Lind., Mack. - μηκονίδος vulg. - ῥυφῆσαι G, Ald. — [14] δ' EHK. - πίσαι vulg. - πῖσαι E. - ταὐτὰ pro τὰ αὐτὰ ταῦτα Lind. — [15] ὁ om. FGI.

κῶς, ἢν μὴ πυρετὸς προσίσχῃ. Αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ παῦροι ἐκφυγγάνουσιν.

8. Ἢν [1] τὸ στῆθος καὶ [2] τὸ μετάφρενον ἀναῤῥαγῇ, ἀναῤῥήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης· [3] τάδε οὖν πάσχει. Βὴξ ἴσχει ὀξείη, καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλὰ, [4] καὶ ἐν τῷ στήθεϊ καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι, καὶ ἐν τῷ πλευρῷ δοκέει οἷον λίθος ἐγκέεσθαι, καὶ [5] κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὡς εἰ βελόνη τις κεντοίη. Τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι [6] πιήνας καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον, καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. Τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα [7] διαιτῆσθαι· ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβὰς ἢ ἐφ' ἵππον, ἢ τοῖσιν ὤμοισιν ἐν ἄχθεϊ αὐτὸς ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος, καὶ, ἢν [8] γένηται, κίνδυνος διαφθαρῆναι· τὸ γὰρ νούσημα ὑποστραφὲν μᾶλλον πιέζει ἢ καταρχάς. Ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν [9] αὐτὸν ἰῆσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτήμασι καὶ σιτίοισι· τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέειν τοῖσιν ἐπιτηδείοισιν· ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

9. [10] Ἢν ἐν πλευρῷ φῦμα φύηται [11] καὶ ἔμπυος γένηται, τάδε πάσχει· ῥῖγος ἴσχει καὶ πυρετὸς, καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας, καὶ ἀλγέει τὸ πλευρὸν, καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῗδα καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. Οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσιν [12] ἕνδεκα ῥοφήμασι χρεέσθω, πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέων, ὁκόταν ἐφθὸν τὸ [13] ῥόφημα ᾖ· οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ ἢ αὐστηρῷ καὶ ὑδαρεῖ, καὶ [14] ῥοφάνοντα πλεονάκις

[1] Τὸ om. H. — [2] τὸ om. H. – ῥήγνυται, al. manu ἀνα H. – ἀπὸ, al. manu ὑπὸ H. — [3] καὶ (καὶ om. EHIJK) τάδε (addunt οὖν EHKP'Q') πάσχει vulg. — [4] καὶ om. E. – στήθεϊ G, Ald. – στήθει vulg. – ἐγκαίεσθαι J. — [5] κεντέεσθαι EFGHJK, Ald. – ὡσεὶ EK, Ald. — [6] πίζας (sic) K'. – πίνας (sic) P'. — [7] διατεῖσθαι J. – τις pro τι K. – ἁμάξας (sic) J. – ἢ τοῖς (τοῖσιν EHIJK, Lind.; τοῖς τ' Q') ὤμοισιν (ὤμ. om., restit. al. manu E) ἐν (ἐς pro ἐν K) ἄχθεϊ (ἐν ἄχθεϊ om., restit. al. manu H) (ἄχθει JP') (addunt αὐτὸς EHKP'; αὔτως Q') ταλ. vulg. – κινδυνεύσῃ H. — [8] ὑποτροπιάσῃ EHKP'Q'. – νόσ. EHK. – ὑποστραφὲν om., restit. al. manu H. – ὑποτραφὲν J. — [9] αὐτὸν om., restit. al. manu H. – οἷον pro οἷσι Lind. – ῥυφ. G, Ald. – σιτίοισι καὶ ποτοῖσι EHK. – ποτοῖσι F (G, supra lineam eadem manu) IJP'Q', Lind., Mack. – σύμπαν EHIJK. — [10] περὶ τοῦ ἐὰν ἐν πλευρῶ φῦμα ἢ ἔμπυον γένηται G. — [11] καὶ ἔμπ. γένηται om. Lind. – ἔμπυον FGKP', Mack. – ἴσχει post πυρετὸς EHK. –

que dans la pleurésie, à moins que la fièvre ne persiste. Cette maladie est difficile; et peu réchappent.

8. (*Ruptures dans la poitrine. Comp.* Des Maladies, livre deuxième, § 62.) Si la poitrine et le dos éprouvent une rupture, ce qui arrive surtout par un effort, voici les accidents : toux vive, expectoration parfois sanguinolente; frisson et fièvre d'ordinaire; douleur aiguë dans la poitrine et le dos. Il semble au malade qu'une pierre lui pèse sur le côté; les douleurs le traversent comme si on le piquait avec une aiguille. Les choses étant ainsi, on donnera de l'embonpoint avec le lait et aussitôt l'on cautérisera la poitrine et le dos. De cette façon il sera très-promptement guéri. Pour le reste, il suivra le régime en se tenant en repos le plus possible; car, s'il se donne quelque fatigue en allant soit en voiture soit à cheval, ou en portant lui-même un fardeau sur les épaules, la rechute est à craindre; et, en cas de rechute, la mort; en effet, dans la récidive, la maladie est plus grave que la première fois. Si on ne le cautérise pas, on le traitera par les mêmes moyens que l'empyême, potages, breuvages et aliments; en somme, gardant le repos, il fera bonne chère avec les substances convenables. Traité de la sorte, il guérira promptement; mais la maladie est difficile.

9. (*Tumeur dans le côté; comp.* Des Maladies, livre deuxième, § 60. *Épanchement de pus dans la cavité de la plèvre.*) Si une tumeur se forme dans le côté et qu'il y ait suppuration, voici les accidents : frisson et fièvre, toux sèche pendant plusieurs jours, douleur dans le côté, laquelle va par élancements à la mamelle, à la clavicule et aux omoplates. Les choses étant ainsi, le malade, les onze premiers jours, usera pour potage de la décoction d'orge très-cuite, à laquelle, quand elle sera cuite, on ajoutera du miel; il boira un vin blanc, doux ou astringent, coupé d'eau; on lui recommandera de boire souvent du vin et de cracher; on l'empêchera de dormir jusqu'à

πουλλὰς G, Ald., Frob. — [12] δέκα vulg. - ἕνδεκα EHKK'. - ῥυφ. GH, Ald. - πτισσ. E. — [13] ῥύφ. G, Ald. - γλυκέϊ Lind. - ἢ (καὶ Cornar., Mack) ὑδαρεῖ vulg. — [14] ῥυμφάνοντα GIK, Ald. - ῥομφάνοντα (H, al. manu) J. - ῥυφάνοντα E.

τοῦ οἴνου ἐκπτύειν κελεύειν, καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν, μετὰ δὲ ταύτας τὰς ἡμέρας σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω, κρέασι [1]σκυλακείοισιν ἢ ἀλεκτρυονείοισι θερμοῖσι· ἐζωμεῦσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ τοῖσι [2]ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου, καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. Πυΐσκεται δὲ μάλιστα ἐν [3]τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν· τούτῳ δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρὸν, πῦον γὰρ οὐκ ἀποπτύεται, [4]οὐδ' ἀνεμέεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημήνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου, καὶ [5]αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύου· ἔπειτα μοτῶσαι, καὶ [6]αὖθις τῇ τρίτῃ καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι δὶς τῆς ἡμέρης ἀπαρύειν ἕως ἂν ξηρανθῇ. Διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται, καὶ πινέτω ὀλίγον, μὴ πολλὸν, [7]ἥν τε οἶνον ἥν τε ὕδωρ· τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς ὡς πλεῖστον, ἐς μέλι ἀποβάπτων· ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὔην, λεπτὴν ποιήσας, ἐς τὸ μέλι μίξας, λείην διδόναι ὡς πλείστην, [8]καὶ τοῖσι λουτροῖσι λούειν, μηδὲ ῥιγούτω, καὶ μαλθακῶς κοιμάσθω. Οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις· ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, [9]τὸ θάλπος, τὸν ἥλιον, καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω μετὰ τὸ σῖτον, ὅκως [10]ἂν μὴ κόπος λάβῃ τὸ σῶμα· ταῦτα ποιέων ὑγιὴς ἔσται. Τούτων τῶν νούσων [11]ἅστινας ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν καὶ [12]καταλιμπάνειν μίην ἡμέρην.

10. [13]Τρεῖς δὲ εἰσὶ φθίσιες· πρώτη· αὕτη μὲν γίνεται ἀπὸ φλέ-

[1] Σκυλακίοισιν GHIJ. – ἀλεκτρυονίοισι vulg. – ἀλεκτρυονείοισι EK. – διαζωμεῦσθαι vulg. – ἐζωμέσθαι (sic) H. – διαζωμεύεσθαι K. – ἐζωμεῦσθαι E. – ἐκδιαζωμεῦσθαι Q', Lind., Mack. – ἐκζωμεῦσθαι P'. – δὲ om., restit. al. manu H. – ῥυμφανέτω EGHIJK, Ald. — [2] ῥυφ. G, Ald. — [3] ταράκοντα (sic), al. manu τετταράκοντα E. – ἢ om. EHK. – τοῦτο vulg. – τούτῳ K. – οὐ πτύεται EP'Q'. — [4] καὶ οὐκ, al. manu οὐδ' H. – ἀποσημαίνει E. – τὸ οἰδ. om., restit. al. manu H. — [5] αὖτις EH. – ὑστερέῃ J. – πύους vulg. – πύου EHK, Lind., Mack. — [6] αὖτις EH. — [7] καὶ οἶνον Q'. – ἥν τε καὶ ὕδωρ EP'. – ἐς τὸ μέλι τε (τε om. EHK) (ἔς τε τὸ μέλι Lind., Mack) μίξας vulg. – λίην J. — [8] καὶ μηδὲ (μὴ, al. manu μηδὲ H) ῥιγούτω, καὶ τοῖσι λουτροῖσι λούειν vulg. – καὶ τοῖσι λουτροῖσι λούειν, μηδὲ ῥιγούτω Lind. – La correction de Lind. est bonne; voy. p. 194, l. 24. – θεραπεύειν J. – τάχιστ' EHK. – ποιήσης E. – ποιήσεις P'Q',

ce que les onze jours soient passés. Après ce terme il prendra, autant que faire se pourra, peu d'aliments, des viandes de jeune chien ou de poulet chaudes; on en fera un bon bouillon, qu'il boira. Il prendra des potages avant le manger; il ne se laissera pas avoir soif, jusqu'à ce que la suppuration soit formée dans le côté. Elle se forme d'ordinaire en quarante jours ou peu auparavant; vous connaîtrez que du pus est dans le côté, à ce que le patient n'expectore ni ne vomit du pus. Les choses étant ainsi, il faut pratiquer, là où le gonflement se manifeste, l'incision ou la cautérisation; puis évacuer le pus peu à peu; après l'évacuation, mettre une tente de lin écru; le lendemain, ôter la tente, et derechef évacuer un peu de pus; puis remettre la tente, et derechef le surlendemain et les autres jours évacuer le pus deux fois dans la journée jusqu'à ce qu'il tarisse. On donnera les aliments de céréales, et les mets, quand le goût lui en viendra; il ne boira que peu, soit vin, soit eau. Il mangera autant qu'il pourra de l'origan frais, trempé dans du miel; si on n'a que de l'origan sec, on le pilera, on y mêlera du miel, et on en fera prendre autant que possible. Il prendra les bains; et on aura soin qu'il n'ait pas froid et qu'il soit couché mollement. En traitant ainsi la maladie, vous procurerez très-promptement la guérison; quand le malade est guéri, il se gardera du froid, du chaud, du soleil; il usera de quelques promenades après le manger, de façon à ne pas se donner de courbature; par ces moyens il guérira. Dans toutes ces maladies, quand vous cautériserez, mettez sur les brûlures beaucoup de porreaux aussitôt après l'ustion, et vous les y laisserez un jour.

10. (*Trois phthisies. Première phthisie.*) Trois phthisies : la

Lind., Mack. – φυλασέσθω H. — [9] Addunt καὶ E (H, al. manu) K. – τοῦ ἡλίου EHJKP'Q'. — [10] ἣν pro ἂν GIJK, Ald., Frob. – ἢν ποιέῃ pro ποιέων EHP'Q', Lind. — [11] οὕστινας FG. – ἢν pro ἂν GHIJK, Ald. – πουλλὰ G, Ald., Frob. — [12] ἐᾶν EHP'Q'. – μίαν EH. — [13] περὶ φθίσιος FG. – φθίσιες τρεῖς pro τρ. δὲ εἰσὶ φθ. EHIJK. – γὰρ pro δὲ FG. – πρώτη om. EFGHIJK. – [ἡ] πρώτη μὲν γίνεται ἀπὸ Lind. – ἐπὴν γὰρ P', Lind., Mack. – νοσήσῃ EH. – νουσήσῃ vulg. – θερμὴ al. manu H. – συσήπεται IJ.

γματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα νοσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι ὥστε ὑποχωρῆσαι· ἔπειτα ὁκόταν παχυνθῇ, καὶ [1] συσσαπῇ, καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγένετο, [2] καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλικοῦ ἐόντος καὶ σαπροῦ. Τάδε οὖν πάσχει· πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα καὶ τὸ μετάφρενον· ἐνίοτε δὲ [3] καὶ βὴξ πιέζει ὀξείη, καὶ ἀποπτύει τὸ σίαλον πουλὺ καὶ ὑγρὸν καὶ ἁλμυρόν. Ταῦτα μὲν καταρχὰς τῆς νούσου πάσχει· προϊούσης δὲ τό τε [4] γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων· ταῦτα δὲ οἰδέει, καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται· ἐκ δὲ τῶν ὤμων λεπτὸς καὶ ἀσθενής· ὁ φάρυγξ [5] ὡς χνόου πίμπλαται, καὶ συρίζει ὡς διὰ καλάμου, καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος, καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. Οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος [6] φαύλως θνήσκει. Μελετᾷν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν· πρῶτον μὲν πῖσαι ἐλλέβορον, κάτω [7] δὲ ὑποκαθῆραι ἐπιθύμῳ ἢ πεπλίῳ ἢ [8] τῷ κόκκῳ τῷ κνιδίῳ ἢ τῇ τιθυμαλίδι· ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. Διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν ἢ βόειον ἢ αἴγειον· πινέτω [9] δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου [10] ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας, [11] ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον· τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. Σιτία δὲ καὶ ὄψα διδόναι μήτε λιπαρὰ μήτε [12] κνισώδεα μήτε λίην δριμέα. Τεκμαιρόμενος [13] δὲ τὸ νούσημα ταῦτα ποιέειν δεῖ, καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία, τεκμαιρόμενος μὴ ῥιγῴη· τοῦ δὲ χειμῶνος παρὰ πυρὶ τὴν οἴκησιν [14] ποιεέσθω. Οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. Κὴν

[1] Συσαπῇ IJ. – φλεβία E. – πν. EGHJK. – ἐγγένηται pro ἐγένετο E. — [2] καὶ ὁκ. ὁ πν. EH. – πν. GJK. – ἀναλάβει J. – ἁλυκοῦ EGHIJK, Ald., Frob. — [3] καὶ EFGHIJK, Ald., Mack. – καὶ om. vulg. — [4] γύον IK. – γύιον H. – φάρυξ FIJ. – Remarquez ici φάρυγξ du masculin contre l'usage hippocratique. — [5] ὃς pro ὡς GJK. – ὡς om., restit. al. manu H. – χρόου FG. – χρόνου K', Ald. – διψεῖ K. – ἀκρασία E. – πούλλη FG, Ald., Frob. — [6] φαῦλος vulg. – φαύλος (sic) Ald. – φαύλως EGHJK, Lind. – μελετῆν Mack. – πίσαι vulg. – πῖσαι E. — [7] δ' EH. – ἢ τῶ π. EHQ'. — [8] τῷ om. Lind. – τῇ om. K. – τιθυμαλλίδι HIJK. – εἰς K. — [9] δὲ om. E. — [10] σ. IJK. – προσμίσγων EHP'Q'. — [11] σ. IJ. – παραμίσγων EH. – τὸν ὀρ. P'. – τὴν ὀρ. EHIJK. — [12] κνισσ. EGIJK, Ald., Frob., Lind., Mack. — [13] δὲ.... τεκμαιρόμενος om. J. – νόσ.

première est produite par le phlegme. Quand la tête remplie de phlegme devient malade et que de la chaleur se développe, le phlegme se corrompt dans la tête, attendu qu'il ne peut être mu de manière à cheminer; puis, quand il est épaissi et corrompu et que les veines sont remplies outre mesure, il se fait une fluxion sur le poumon; et le poumon, l'ayant reçue, s'affecte aussitôt, étant irrité par le phlegme, qui est salé et putride. Voici les accidents : il survient une fièvre sourde et du frisson; il y a douleur à la poitrine et au dos; parfois une toux aiguë accable le patient, qui rend une expectoration abondante, aqueuse et salée. Tels sont les accidents du début de la maladie; mais, avec le temps, le corps maigrit sauf les membres inférieurs, qui enflent ainsi que les pieds; les ongles se rétractent; les épaules deviennent minces et faibles; la gorge se remplit d'une espèce de duvet; elle siffle comme à travers un tuyau. La soif est vive durant toute la maladie; et le malade éprouve une impuissance générale. Les choses étant ainsi, il succombe misérablement à la consomption au bout d'un an. Il faut traiter avec le plus grand soin et restaurer. D'abord on fera boire l'hellébore; et par le bas on évacuera avec l'épithymum (*cuscuta epithymum*, L.), ou le peplium (*euphorbia peplis*, L.), ou le grain de Gnide, ou le tithymalle. On prescrira ces évacuants quatre fois par an, deux fois par le haut, deux fois par le bas. On donnera aussi pour l'évacuation le lait cuit d'ânesse, ou de vache, ou de chèvre. Il boira le lait cru de vache, avec addition d'un tiers de mélicrat et en y mêlant de l'origan, pendant quarante-cinq jours. On purgera auparavant la tête par l'application d'un errhin. Les aliments de céréales et les mets ne seront ni huileux, ni gras, ni trop âcres. Il faut prescrire tout cela en ayant l'œil sur la maladie. Il usera des promenades en proportion des aliments, et aura soin de ne pas prendre froid. En hiver il prendra son domicile près du feu. Il boira un vin astringent, noir, très-vieux et très-agréable,

EH. - πάντα, al. manu ταῦτα H. - χρὴ EHP'Q', Lind., Mack. — [14] ποιέεσθαι K.

δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον· ἢν δὲ μὴ [1]βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τοπρόσθεν γέγραπται. Τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω· ἢν δὲ μὴ [2]ξυμφέρωσιν, [3]ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. Οὗτος οὕτω μελετώμενος ῥήϊστα ἂν διάγοι ἐν τῷ νουσήματι· ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσι.

11. [4]Φθίσις δευτέρα· γίνεται μὲν ἀπὸ ταλαιπωρίης· τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν· ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον [5]τῆς προτέρης, καὶ τοῦ θέρεος ἀνίησιν. Τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν [6]τῆς πρόσθεν, καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιοὺς, καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι, καὶ δοκέει οἷόν περ [7]λίθος ἐν αὐτοῖσιν ἐγκέεσθαι· πονέει δὲ καὶ τὸ μετάφρενον· καὶ ἡ χροιὴ δίυδρος [8]αὐτέου ἐστὶ, καὶ ἤν τι πονήσῃ, φύσῃ καὶ ἆσθμα ἴσχει. Οὗτος ἐκ ταύτης τῆς νούσου ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. Μελετᾷν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. Αὕτη ἡ νοῦσος προσέχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων, ἀλλ' ἀποθνήσκουσιν· ἡ γὰρ νοῦσος χαλεπή.

12. [9]Φθίσις τρίτη· ὑπὸ ταύτης τάδε πάσχει· ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος αἵματός τε καὶ χολῆς μεστὸς γίνεται. Φθίνει [10]δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν· αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς. Πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' [11]ὁκοτέρων ἂν φθίνῃ, καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος, καὶ τὰ ὑπὸ τοὺς

[1] Βούλει K. – Post β. addit τὸ φάρμακον E. – Ante ἔμ. addunt οὕτω δὲ EH. – ἀπὸ pro ἐκ EH. – καταν. om. (E, restit. al. manu) H. — [2] σ. IJK. — [3] ἡσυχίην χρὴ ἔχειν EHP'Q', Lind. – μελεδαινόμενος P', Mack. – ῥήϊστ' EH. – διάγοιεν (διάγοιε sic E) (διάγοι ἐν Lind., Mack) τῷ vulg. – νοσ. EIK. – σώματι J, Calvus. – ταύτην om., restit. al. manu H. — [4] ἄλλη φθίσις EHI (JK, ἑτέρη). – γίνεται δὲ (μὲν EHK) vulg. – ταὐτὰ Lind. — [5] τῇ IJ, Ald. — [6] τῇ E. – πιέζῃ Ald. – ὀρόους (sic) (E, al. manu γεραιοὺς) FGHIJK, Ald. — [7] λίθον EFGJKP', Ald., Mack. – ἐν om. K. – δίυγρος vulg. – Gal. Gl. : δίιδρος, νοτηρὰ (sic) καὶ διιδροῦσα. – Gal. Gl. : δίεδρος, διαφανής, ἐν τῷ δευτέρῳ Περὶ νούσων μείζονι. – Au lieu de δίεδρος, Foes, à cause de la place alphabétique où est ce mot, conseille de lire δίαιθρος, mot qu'Hésychius explique par διαφανής. Schneider, dans son Dict. au mot δίυδρος, approuve cette correction, et pense qu'il faut lire dans notre passage δίυδρος ou δίαιθρος. — [8] αὐτοῦ E. – φύσει EGHIJK. – ἄσθμα J. – μελετῆν Lind., Mack. – πουλλοῖσι G, Ald., Frob. – πλὴν E (H, al. manu μέχρι). – τῶν τριῶν E. – δὲ pro γὰρ FG, Ald. — [9] ἑτέρα φθ. E (I, ἑτέρη) J (K, ἄλλη). – ἀπὸ GJ, Ald. – δὲ τάδε EK. –

mais en petite quantité. S'il vous paraît convenable d'administrer une fumigation avant de donner un évacuant, évacuez après fumigation; mais si vous ne voulez pas donner d'évacuant, administrez une fumigation et faites vomir après aliments, comme il a été écrit plus haut. Ce malade marchera, si la marche lui est utile; sinon, il gardera le repos autant que possible. Ce malade, ainsi traité, supportera le plus facilement la maladie; mais elle est dangereuse, et peu en réchappent.

11. (*Deuxième phthisie.*) Deuxième phthisie : elle vient de fatigues; les accidents sont à peu près les mêmes que dans le cas précédent, mais la maladie offre plus de rémissions, et elle se relâche en été. Le malade expectore, mais l'expectoration est plus épaisse; la toux accable surtout les personnes avancées en âge; la souffrance est plus forte dans la poitrine, il semble qu'une pierre y pèse; le dos aussi est douloureux; le corps a une transparence aqueuse; et pour le moindre effort le malade souffle et est oppressé. On meurt ordinairement de cette maladie en trois ans. Il faut la traiter par les mêmes moyens que la précédente. Elle se prolonge chez la plupart jusqu'à trois ans; mais ils n'en succombent pas moins. Car la maladie est difficile.

12. (*Troisième phthisie.*) Troisième phthisie : en voici les accidents : la moelle dorsale devient pleine de sang et de bile. La consomption vient aussi des veines creuses, qui se remplissent d'un phlegme aqueux et de bile. Au reste les accidents sont les mêmes, quel que soit le point de départ de la consomption. Tout d'abord le patient devient noir et un peu gonflé; le dessous des yeux jaunit; les veines du corps s'étendent avec

αὐτοῦ E. – καὶ χολῆς Lind., Mack. – καὶ χολῆς om. vulg. – Le τε qui subsiste dans vulg. indique qu'il manque quelque chose; c'est pourquoi j'ai reçu l'addition adoptée par Lind. et Mack. — [10] δὲ om., restit. al. manu H. – ὑδροποειδέος IJK, Ald., Frob. — [11] ὀπ. EGHIJK, Ald. – ἦν pro ἂν EFGIJK, Ald. – ὑπὸ τοὺς ὀφθ. om. Lind. – ὑπόπυα vulg. – ὑπώπια EGHIJK, Lind., Mack. – La correction de Lind. me paraît fort vraisemblable; ὑπὸ τοὺς ὀφθαλμοὺς est sans doute une glose de ὑπώπια, passée de la marge dans le texte. – διαπέφανται Lind.

ὀφθαλμοὺς ὑπώπια ὠχρὰ, καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διατέτανται, ἔνιαι δὲ σφόδρα ἐρυθραί· μάλιστα δὲ δῆλαι αἱ ὑπὸ τῇσι μασχάλῃσι· καὶ ἀποπτύει ὠχρὰ, καὶ ὅταν αὐτέῳ [1]ἐπίῃ, πνίγεται καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος· ἐνίοτε δὲ [2]ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν ἀθρόον ἤμεσε χολὴν, ποτὲ δὲ λάπην, πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ, καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι· εἶτ' αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι [3]κέεται. Οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων, καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει ἱδρώδης. Τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ [4]ῥοφήμασι καὶ ποτοῖσι καὶ φαρμάκοισι καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετῆν, ὥσπερ [5]τοὺς πρόσθεν. Ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος· παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς· χαλεπὴ γὰρ ἡ νοῦσος. Ἢν δὲ βούλῃ, [6]ὧδε ἰῆσθαι αὐτόν· πρῶτα μὲν πυριῆσαι, καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ [7]δοῦναι αὐτῷ πιεῖν μελικρήτου ἡμίχουν καὶ ὄξος παραχέαι ὀλίγον, [8]καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν· ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν [9]πολλὰ καὶ ὡς πλεῖστον χρόνον· ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω· ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη [10]ἐγγενομένου, ἐπιπιὼν ὕδατος χλιεροῦ μεγάλην κύλικα, ἐμεέτω καταματτόμενος πτερῷ· ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. Ὁκόταν δὲ [11]ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα, ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα, οἶνον δὲ πινέτω γλυκύν. Τὸν δὲ λοιπὸν χρόνον, λουέσθω [12]πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ, καὶ μετὰ τὸ λουτρὸν φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὑδέτω ὡς πλεῖστον χρόνον. Ὁκόταν δὲ ἀναστῇ [13]εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ

[1] Ἐπιῇ J, Frob. — [2] ὑπὸ.... ποτὲ δὲ om. K. – ἐνίοτε pro ἀθρόον Gal. in cit. t. XVII, p. 430. – ἔμεσε Ald. – τοτὲ H. – τότε I. – ὀτὲ FG, Ald. – δοκέῃ FG, Ald., Frob. – αὖτις EH. — [3] καίεται H. — [4] ῥυφ. EGHIJK, Ald. — [5] τῶν, al. manu τοὺς H. – Si on prenait τῶν, il faudrait le lire τόν. — [6] ὧδε om. K. – πρῶτον H. – μὲν om., restit. al. manu H. – πυριεῖσθαι J. – ὁκόταν δὲ sine καὶ H. — [7] δοῦναι χρὴ πιεῖν αὐτῷ EH. – μελίκρητον vulg. – μελικρήτου E. – παραχέας E. — [8] τοῦτο δὲ κελ. ἀπν. ἐκπιεῖν sine καὶ EH. – Est-ce ici qu'il faut rapporter la glose de Gal. : ἀμυστὶ, ἀθρόως, ἄνευ τοῦ μῦσαι τοῖς χείλεσι? Le fait est qu'ἀπνευστὶ, si on le conserve, ne peut être pris à la lettre. Comment boire, sans respirer, plus d'un litre et demi? ἀμυστὶ voudrait dire : sans ôter le vase des lèvres. — [9] πολλὸν G, Ald. — [10] ἐγγενομένου H. – γενομένου vulg. – ὕδατος repetitur H. – χλιεροῦ (H, al. manu α) I.

une teinte jaune, quelques-unes même sont très-rouges; les plus apparentes sont celles de dessous les aisselles. L'expectoration est jaune; et, quand elle arrive, il étouffe et parfois ne peut tousser, bien qu'il le veuille. Parfois la suffocation et le besoin de tousser lui font vomir beaucoup de bile, ou bien de la pituite, souvent aussi les aliments, quand il mange; après le vomissement il se sent plus à l'aise; mais l'intermission n'est pas longue, et bientôt les mêmes souffrances reparaissent. Le patient a la voix plus aiguë qu'en santé. Par intervalles il est pris de frisson et d'une fièvre avec sueur. Les choses étant ainsi, on le traitera avec les mêmes aliments, potages, boissons, évacuants et le reste que dans les cas précédents. La maladie dure d'ordinaire neuf ans; passé ce terme, on la supporte tout en étant en consomption; mais peu réchappent; car elle est difficile. Si vous vous en chargez, vous la traiterez ainsi : d'abord étuver; après l'étuve, le lendemain, donner à boire un demi-conge (*conge* = $3^{\text{litres}},24$) de mélicrat avec un peu de vinaigre, et commander d'avaler le tout d'un seul trait; puis on couvrira le malade de beaucoup de couvertures, et aussi longtemps que possible; s'il ne peut y tenir et qu'il ait envie de vomir, laissez-le vomir. Si, un certain temps s'étant déjà écoulé, le vomissement ne vient pas, il boira un grand gobelet d'eau tiède et vomira en se titillant avec une plume. Ayant vomi de manière à se trouver bien, il se tiendra en repos ce jour-là. L'heure du dîner venue, il prendra un peu de polenta, pour mets des salaisons et des porreaux, dont il mangera le plus qu'il pourra; il boira un vin doux. Le reste du temps, il se lavera chaque jour dès le matin avec beaucoup d'eau chaude; après le bain il prendra garde d'avoir froid; et, se couchant, il dormira le plus longtemps possible. Réveillé et levé, il fera, ce jour-là, une marche d'au moins vingt

- χλιαροῦ vulg. - κοίλικα H. - καταματτεόμενος H. — [11] δείπνου ὥρῃ EHIJK. - δείπνου ᾗ om. Lind. - πράσσα I. — [12] τε πᾶσαν EH. - ἕωθεν H. - πλείστῳ, al. manu πολλῷ H. - εὐδέτω HIJK, Ald., Frob. - ὡς om. FGIJ. — [13] εὕδων HIK, Ald., Frob. - εὔδον (sic) J. - ὑπερβαλλὼν (sic) H. - ὑπερβαλὼν E.

βραχύτατον ταύτῃ τῇ ἡμέρῃ· τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι πέντε σταδίους ἄλλους ὑπερϐάλλων βαδιζέτω, ἑκάστης [1]ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται ἐς τοὺς ἑκατὸν σταδίους. Τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων καὶ ἀπὸ κράμϐης, χωρὶς ἑκάτερα ἑψήσας ἀπηθῆσαι χοέα ἑκατέρου· εἶτα [2]ξυμμίξας ἅμα συνεψεῖν· τὸ δὲ ὀϊὸς στέαρ τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών· ὁκόταν δὲ μέλλῃ πιεῖσθαι, πρὸς μὲν τῆς κράμϐης τὸν χυλὸν ἅλας παραϐάλλειν, πρὸς δὲ [3]τὸν τῶν τευτλίων μέλι παραχέειν· ἐξὸν δὲ χωρὶς ἑκάτερον πίνειν, ἢ [4]μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα πίνειν, παρὰ δὲ τὴν ἑτέρην ἅλας· ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. Ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας· τῷ δὲ δευτέρῳ [5]μηνὶ ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς ἑφθὰ, ἄλλο [6]δὲ μηδέν· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ ὁδὸν ὁδοιπορεέτω μὴ [7]ἐλάσσω σταδίων τριήκοντα πρὸ τοῦ δείπνου, μετὰ δὲ [8]τὸ δεῖπνον δέκα, καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. Ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. Τῷ δὲ τρίτῳ μηνὶ κυκεῶνα [9]ἀνθινὴν πινέτω· σελίνου ῥίζας καὶ ἄνηθον καὶ πήγανον καὶ μίνθην καὶ κορίανον καὶ μήκωνας ἁπαλὰς καὶ ὤκιμον καὶ φακὸν καὶ ῥοιῆς γλυκέης καὶ οἰνώδεος χυλόν· εἶναι δὲ χρὴ [10]τὰς γλυκείας διπλασίας· [11]εἶναι δὲ χρὴ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον [12]καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον καὶ ὕδατος κοτύλης ἥμισυ· ἔπειτα ἄνθεα τρίψας λεῖα, διῆναι τούτῳ τῷ [13]συγκεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα· ἔπειτα ἐπι-

[1] Ἡμέρησι GIJ. – προστ. om., restit. al. manu H. – ἕως pro ἄχρις EHP'Q', Lind., Mack. – εἰς vulg. – ἐς EIK, Lind. – χόεα EHIJK, Ald., Frob. — [2] σ. EHIJK. – ἐς τωὐτὸ pro ἅμα EH. – συνεψεῖν τὸ στέαρ (τὰ ὀστέα οἱ pro τὸ στέαρ FGIJK, Ald.; δέ οἱ ὀστέα H; δέ οἱ στέαρ E; τὸ στέαρ ὄϊος Vatic. exempl. ap. Foes, Mack ὀϊός; τὸ στέαρ ὄϊον Lind.) τὸ (τὸ om. Lind.) ἀπὸ vulg. – Le δὲ est nécessaire; quant à ὀϊὸς, il est dans la fausse leçon οἱ ὀστέα. Je lis donc τὸ δὲ ὀϊὸς στέαρ. – μνὰς HIJ. – ὅταν K. – πιῆσθαι EFGIJK. – ἅλα HJK. – παραϐαλεῖν HK. — [3] τὸν om., restit. al. manu E. – τὸ F. – παραχέων, al. manu χέειν E. – ἢν pro ἐξὸν (E, al. manu ἐξὸν) FGHIJK, Ald. – ἑκατέρου FGJ, Ald. — [4] μέλι om. G, Ald. – παραγχέας (sic) F. – παραχέας, al. manu εγ H. – κοίλικα H. – Ante πίνειν addit καὶ H. — [5] Ante μηνὶ addit μὴ H. – ἄρτου G, Ald. — [6] δὲ om., restit. al. manu H. – καὶ αὐστ. E (H, καὶ al. manu). — [7] ἐλάσσων E. — [8] τὸν K. – ῥηΐδιον FK. – ῥήδιον GIJ. – ῥᾶον E. – ῥῆον H. — [9] ἀνθίνην Lind. – ἀνθινὸν Mack. – Gal. Gl. : ἀνθίνην οἶνον, ἤτοι τὸν ἀνθοσμίαν ὀνομαζόμενον, ἢ τὸν ἐκ τῶν ἀνήθων (l. ἀνθῶν) ἡδυσμένον. Ὥσπερ καὶ κυκεῶνα ἀνθινὸν ὠνόμασεν ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι. – πίγανον J. – κορίαννον H. – μήκονας GJ, Ald., Frob. – γλυκέης K. –

stades (*stade* = 180 mètres); les jours suivants il fera cinq stades de plus, ajoutant chaque jour cinq stades, jusqu'à ce qu'il atteigne cent stades. On relâchera, à partir de ce jour, le ventre à l'aide d'eau de bette et de chou; on fera cuire séparément les bettes et les choux, et on en filtrera un conge (3^{litres},24) de chaque; puis on les mêlera et on les fera cuire ensemble; on aura fait cuire, dans chaque séparement, de la graisse de rognons de moutons, à la dose d'un quart de mine (*mine* = 324 grammes) partagée entre les deux; quand le patient va boire, on ajoute à l'eau de chou du sel, à l'eau de bettes du miel; il est loisible de les boire séparément, ou de les prendre en ajoutant à une tasse du miel, à l'autre du sel; il faut boire tout le conge. Voilà ce qu'on fera pendant trente jours; le second mois, le malade mangera du pain, des viandes de porc grasses et bouillies, et rien autre. Il boira un vin blanc, astringent, et fera une marche qui ne sera pas moindre de trente stades avant le dîner, et de dix après le dîner; il ne prendra pas froid et se couvrira. S'il suit ce régime, il supportera plus aisément la maladie. Le troisième mois, il boira du cycéon aux fleurs ainsi préparé : prenez racine de persil, aneth, rue, menthe, coriandre, pavot frais, basilic, lentille, et du jus de grenades douces et de grenades vineuses; il y aura le double de douces, le suc des unes et des autres fera une demi-cotyle (*cotyle* = 0^{litre},27); il y aura en outre une demi-cotyle d'un vin noir, doux, astringent, et une demi-cotyle d'eau; puis, ayant bien pilé les plantes, on les macérera dans ce mélange, et on versera dans une tasse; alors dedans on jettera un oxybaphe (0^{litre},068) de farine d'ers, autant de gruau

γλυκείης vulg. — [10] τῆς γλυκείης διπλάσιον Lind. — [11] εἶναι δὲ χρὴ om. Lind. -συναμφ. καὶ (καὶ om., restit. al. manu H) τοῦ χ. EH. -καὶ τοῦ vulg. -συναμφ. IJK. - ξὺν ἀμφοτέρων Ald., Frob. — [12] καὶ.... ἡμικοτύλιον om. (H, restit. al. manu) I. - ἥμισυν IJ. - Gal. Gl. : ἄνθεα, οὐ μόνον ταῦτα τὰ εἰς τὰ στέφανα, ἀλλὰ καὶ τὰ ἄλλα πάντα οὕτως ὀνομάζει· καὶ τὰ σπέρματα δὲ ὡσαύτως ἐνίοτε καλεῖ, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ τῶν γυναικείων. - διεῖναι J. — [13] συγκεχρημένω EHP'. - κεχρημένῳ vulg. - ἐπιβαλλεῖν sic I. - ὀξόβαφον HIJ. - ἶσον (bis) J. - ἀγγίου pro αἰγείου J. - ξέσαι al. manu H.

βαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον, καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι· ταῦτα [1]ξυγκυκήσας ἐκπιέτω· ἔπειτα διαλιπὼν ὀλίγον χρόνον ἀριστάτω ἄρτον, καὶ ὄψον ἐχέτω τέμαχος νάρκης ἢ ῥίνης ἢ γαλεοῦ ἢ βατίδος, [2]καὶ κρέα ὑὸς ἐσθιέτω ἐφθὰ, καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα, καὶ πυριῆν διὰ δεκάτης ἡμέρης [3]ἐς ἑωυτὸν ἡσυχῇ. Τῷ δὲ τετάρτῳ μηνὶ πυριῆν διὰ πέμπτης ἡμέρης ἀτρέμα, καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον· [4]ὄψῳ δὲ χρεέσθω τυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἷος ἑφθοῖσιν. Ὁδοιπορεέτω δὲ [5]καὶ σταδίους, ὡς πρόσθεν εἴρηται, [6]ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων βαδιζέτω, καὶ καθ' ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι· [7]περιπατεέτω δὲ τῆς ἡμέρης ὀγδοήκοντα σταδίους, [8][πρὸ τοῦ δείπνου τριήκοντα,] μετὰ τὸ δεῖπνον [9]εἴκοσι, ὄρθρου [10]τριήκοντα. Τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μᾶζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα, καὶ ὄψον ἐχέτω σελάχια, [11]καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων· ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος καὶ ἐγχέλυος καὶ μελανούρου· ἐσθιέτω δὲ νάρκην καὶ ῥίνην καὶ βατίδα καὶ γαλεὸν καὶ τρυγόνα καὶ βατράχους, τῶν δὲ [12]ἄλλων μηδέν· ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα, ἐπειδὰν θέλῃ καθευδῆσαι, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα, καὶ μεθ' ἡμέρην τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. Καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους, [13][πρὸ τοῦ δείπνου ἐννενήκοντα,] μετὰ [14]τὸ δεῖπνον [15]εἴκοσιν, ὄρθρου δὲ [16]τεσσαράκοντα. Οὗτος οὕτω θεραπευόμενος γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

GHIθ, Ald., Frob. – καστόριον C. – ὅκου pro ὅσον C. – κύαμος C. – ποτοῖσι C. – καὶ σιτ. om. CJ. – σίτοισι DGIθ. – λινόζωστι Cθ. – λινόζωστιν DI. – λινοζῶστιν GHK. – κρομμύου θ. – κρόμμυα C. — [10] ὁπόταν C. – πνιγῶσιν Cθ. – ὑπὸ τὰς ῥίνας θ. – ὑ. τ. ῥ. om. vulg. – ἤγουν (ἤγουν om. Cθ) ἄσφαλτον vulg.

27. Ἢν [1]δὲ λεχοῖ αἱ ὑστέραι φλεγμήνωσι, πίμπραται καὶ πνὶξ ἔχει. Ὁκόταν [2]ὧδε ἔχῃ, [3]παρατείνας ὀθόνιον βρύα θαλάσσια λεπτὰ καταπλάσσειν· ἔπειτα ὠμήλυσιν καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα, ὄξος καὶ ἔλαιον [4]ἐπιχέας, ἑψεῖν ἕως ἂν οἷόν περ σταῖς γένηται· ἔπειτα καταπλάσαι, ἣν θερμοτέρῳ δύνηται ἀνέχεσθαι, τὴν νείαιραν γαστέρα.

28. Ἢν δὲ [5]πεπήγωσι, φακοὺς ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα ἐς τὸ στόμα καὶ τὰς ῥῖνας προσίσχειν, καὶ [6]τὰ κακώδεα ὑποθυμιῆν, καὶ λινόζωστιν ἐσθίειν· καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω· [7]ὅτι τάχιστά τε καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης· καὶ σιτία διαχωρητικὰ προσφερέσθω· ἢν δὲ ἡ γαστὴρ [8]θερμαίνηται, ὑποκλύσαι.

29. [9]Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα, καὶ ἐπὴν οὗτος θερμὸς γένηται, ἕτερον ἐγχεῖν· [10]ἢν δὲ μὴ ᾖ, σχίνου ἢ ῥάμνου ἢ τεύτλου. [11]Ἕτερον· κολοκύντης χυλὸν ἐκπιέσας ἔγχεον, καὶ αὐτῆς [12]τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας μακρὸν ἔνθες. Ὕστερον [13]ὕδατι ψιμύθιον τρίβων, ἐν εἰρίῳ ἀνασπογγίζων, πρόσθες· ἢν δὲ φρίσσῃ, ἀφαιρέειν. Ἢν γυνὴ [14]ἀσθενέῃ ἀπὸ ὑστερέων, καὶ χολαὶ αὐτὴν πνίγωσι, καὶ δέῃ αὐτὴν καθῆραι κούφως

[1] Δὲ om. Cθ. – λέχοι CDGHIJKθ, Ald., Frob. – πίμπλαται L. – πίμπλαται [ἡ κοιλίη καὶ μεγάλη γίνεται] Lind. – Cette addition de Lind. est prise au passage parallèle du premier livre des Maladies des Femmes. — [2] δὲ (δὲ om. Cθ) ὧδε vulg. — [3] ὑποτινας (sic) θ. – ὀθόνια C. – βρία C. – καταπάσσειν C. – ὠμηλυσι (sic) θ. – ὠμήλησιν Frob. – ὠμείλυσι J. – ὠμὴν αὖσιν (sic) C. – κλιματίνην GIK, Ald. – λινούσπερμα θ. – καὶ ἔλαιον om. θ. — [4] ἐπιχεῖν J. – ἑψεῖν om. J. – θύειν ἔστ' ἂν ἐς τὰς ἰστέας στέαρμα pro ἑψεῖν.... σταῖς C. – θύειν εσταν ιτεας στεαρμα (sic) θ. – σταὶς DHJ. – καταπλάσσαις (sic) D. – καταπλάσσαι GH, Ald., Frob. – ὡς θερμότερον Lind. – ἀνέχεσθαι om. (DH, restit. al. manu) GIJK. – νιαιρὰν θ. – νειαιρὴν Lind. – νείαιραν vulg. – νειαίραν C. – νειέραν H. — [5] πεπηγῶσι θ. – πεπιγῶσι C. – πεπνίγωσι Lind. – Il y a πνίγωσι dans le passage parallèle du premier livre des Maladies des Femmes. – φακοὺς D, Lind. – φακοῦ vulg. – ἡδιόσμω J. – ηδυοεμω (sic) θ. – ἡδεῖ οἴνῳ Lind. – τὸ om. C. – προσάγειν θ. — [6] τὰ Cθ. – τὰ om. vulg. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – ἄλυτον CFG, Ald. – ῥυφείτω DIK. — [7] ὅτ' ἂν τάχιστα (addit δὲ Lind.) καὶ (ὅτ' ἂν τ. καὶ om., D restit. al. manu, FGHIJK) πρὶν vulg. – ὅτ' ἂν τὰ κάκιστα τέκῃ πρὶν C. – ὅταν τάχιστα τέκῃ Vaticana exempl. ap. Foes. – Je lis ὅτι au lieu de ὅταν, et prends τε à τέκῃ. – τῆς ὀδύνης παύει C. — [8] θερμαίνηται CGHIθ, Ald., Frob., Lind. – θερμαίνεται vulg. — [9] ἢν δὲ (δὲ om. CDGHIJKθ, Ald.) vulg. — [10] ἢν δὲ μὴ om. C. – ἢ pro

27. (*Inflammation de la matrice chez une nouvelle accouchée.*) Si, chez une nouvelle accouchée, les matrices s'enflamment, il y a phlegmasie et suffocation. Les choses étant ainsi, étendez un linge, mettez-y de l'algue marine pilée et faites un cataplasme; puis prenez de la farine, de la cendre de clématite et de la graine de lin, versez-y du vinaigre et de l'huile, faites cuire jusqu'à consistance de pâte, et appliquez en cataplasme, très-chaud si la femme peut l'endurer, sur le bas-ventre.

28. (*Affection utérine indéterminée.*) Si les matrices sont rigides, faites cuire des lentilles dans du vinaigre et beaucoup de menthe, la femme en attirera la vapeur dans la bouche et dans les narines; elle prendra les fumigations fétides, elle mangera la mercuriale; elle prendra en potage la farine cuite dans la décoction de mercuriale. Tout aussitôt, et avant que la douleur se déclare, vous donnerez les médicaments qui calment les douleurs de matrice; vous prescrirez les aliments relâchants. Si le ventre devient chaud, vous prescrirez un lavement.

29. (*Inflammation utérine à la suite de l'accouchement.*) Si, à la suite de l'accouchement, les matrices s'enflamment, injectez du suc de strychnos (*solanum dulcamara*) dans les parties génitales; et, quand ce suc s'y est échauffé, injectez-en d'autre. Si vous n'en avez pas, prenez du lentisque ou du rhamnus (*rhamnus oleoides,* L.) ou de la bette. Autre : exprimez le suc d'une courge et injectez; taillez en long le dedans de la courge, ce qui en est le plus tendre, et mettez-le. Enfin, écrasez de la céruse dans de l'eau, épongez cette eau avec de la laine, et mettez cette laine dans les parties génitales. Si la femme frissonne, retirez ce qui a été mis. Si la femme est

ἢ C. - σελίνου pro σχίνου Cθ. - ἀκτῆς pro αὐτῆς Codd. regg. ap. Foes in not. — [11] ἢ (ἢ om., D restit. al. manu, FGIK, Ald.; ἕτερον pro ἢ CJθ) κολ. vulg. - κολοκύνθης θ. — [12] τὸ om. θ. - ἐμμέτω (sic) pro ἐν μ. C. - περιξέσας Cθ. - μικρὸν Codd. regg. ap. Foes in not. — [13] ἐν ὕδατι, quod ponitur post ψ. Cθ. - ψιμύθιον C. - ψιμίθιον I. - ψιμμίθιον vulg. - ψιμμιθίου K. - ἡμίθιον (sic) θ. - τρίβον Ald. - φρίσῃ D. — [14] ἀσθενῆ Cθ. - ὑστερέων C. - ὑστέρων vulg. - χολὴ C. - καθαρθῆναι C. - τὴν ὀδύνην DFHIJKQ'. - παῦσαι Cθ. - παύσασθαι vulg. - πευκεδανοῦ IJK. - τρὶς θ. - δοῦναι πιεῖν Cθ.

καὶ τῆς ὀδύνης παῦσαι, πευκεδάνου ὀπὸν ὅσον τρεῖς κυάθους δίδου πίνειν.

30. [1] Ἢν ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἔωσιν ἢ ἐν τῷ κενεῶνι, ἣν θέλῃς μετακινῆσαι, τρίψας θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν παραχέας, καὶ ποιήσας βάλανον παχείην, ἐς τὴν ἕδρην ἔνθες· [2] καὶ ἐκ τῶν ὑστερέων ἢν ξηραὶ γένωνται, τὰ αὐτὰ προσθεῖναι ὡς τάχιστα.

31. [3] Γυναικὶ ὅταν αἱ ὑστέραι σκληραὶ γένωνται καὶ ἐς τὰ αἰδοῖα ἐξίσχωσι καὶ οἱ βουβῶνες σκληροὶ [4] γένωνται, καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καρκινοῦσθαι ἄρχεται. Ὅταν [5] οὕτως ἔχῃ, σικύης χρὴ τὸ ἔσω τρῖψαι [6] καὶ κηρίον, ὕδατος κοτύλην ἐπιχέας, ἐνιεὶς ἐς τὴν ἕδρην, ἔα καθαίρεσθαι.

32. [7] Ὁκόταν δὲ γυναικὶ διδῷς φάρμακον, παράμισγε τῷ φαρμάκῳ ὅσα ὑστέρας καθαίρει καὶ ὅσα ἐλαύνει. [8] Ἕτερα ποτὰ καὶ προσθετὰ, δυνάμενα χόριον ἐξάγειν καὶ ἐπιμήνια κατασπάσαι· κανθαρίδας [9] πέντε ἀποτίλας τὰ πτερὰ καὶ τοὺς πόδας καὶ τὴν κεφαλήν· ἔπειτα τριβόλους παραθαλασσίους σὺν τῇ ῥίζῃ [10] τρίψας ὅσον κόγχην, καὶ τοῦ ἀνθέμου τοῦ χλωροῦ [11] τὸ ἴσον τρίψας, σελίνου σπέρμα ἴσον, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα, ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ δίδου πιεῖν. Καὶ ἐπὴν [12] ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ μελίκρητα ὑδαρέα πινέτω. [13] Ἕτερον· βατραχίου τῶν φύλλων καὶ τοῦ ἄνθεος τε-

[1] Εἰκοστὸν τέταρτον J. – ἣν δὲ (δὲ om. Cθ) vulg. – ὀσφύει θ. – ὀσφυίῃ (sic) ὀδύνῃ ὑστέρης ἢ ἡ C. – ὦσιν vulg. – ἔωσιν θ. – θῖον θ. – περιχέας Cθ. – τὴν Cθ. – τὴν om. vulg. — [2] κἢν pro καὶ Cθ. – ὑστερικῶν Lind. – ἢν om. C. – τὰ αὐτὰ Cθ. – ταῦτα vulg. — [3] εἰκοστὸν πέμπτον J. – ὁκόταν θ. – αἱ HJθ. – αἱ om. vulg. – γίνωνται CD. – ἐς CDθ. – εἰς (εἰς om. J) vulg. – ἐξίωσι CLθ, Lind. — [4] γέν. CDHIKθ. – γίν. vulg. – αἰδίοισιν D. – αἰδοίῃσιν Ald., Frob. – ἔνι θ. – ᾖ D. – ἐν ᾖ J. – ἄρχεται om. C. — [5] ὧδε C. – οὐδε (sic) θ. – σικύος (sic) C. – σικύου Lind. – ἔσω J. – ἶσον C. – ἴσω θ. – εἴσω vulg. — [6] τὸ ξηρὸν vulg. – καὶ κηρὸν FGHI, Ald. – καὶ κηρίον CJθ, Lind. – ὕδατός [τε] Lind. – ἐνίει C. – ἐνεῖναι Lind. – ἐᾷ vulg. – ἔα CH. – [καὶ] ἐᾷν Lind. – ἐκκαθαίρεσθαι pro ἔα κ. DGIJ. – καθαίρεσθαι om. Lind. – καθ. μέχρις ἂν καθαρθῇ (μ. ἂν καθαρθῇ om. Cθ) vulg. — [7] εἰκοστὸν ἕκτον J. – ὅταν C. – διδῶς D. – δῷς vulg. – δὸς H. – παραμίσγων C. – τῶν φαρμάκων (C, sine τῶν) θ. — [8] καὶ ἕτερα CI. – καὶ om. C. – δυνάμενα om. Cθ. – χόριον CDJ. – χῶρις (sic) Ald. – χορίον IK. – χωρίον vulg. – τὰ (τὰ om. DFGHJK) ἐπιμ. vulg. – κατασπᾶσαι Frob., Lind. – κατασπᾶσθαι C. — [9] πέντε DGHIJθ. – ε (ε om. C) vulg. – ἀποτείλας vulg. – ἀποτίλλας C. – ἀποτίλας DJθ. — [10] κόψας θ. – ἀνθέμου CDFGHIJKθ, Ald., Frob., Lind. – ἀνθέμους vulg. – τὸ χλωρὸν Vaticana exempl. ap. Foes in not. — [11] τὸ εἴσω (ἶσον CH; ἴσω θ; ἴσον D) ξηρὸν (χλωρὸν C) τρίψας ὅσον κόγχην vulg. – Il faut prendre la leçon donnée par le passage parallèle du

faible par le fait de la matrice, si la bile lui cause des suffocations et qu'il faille la purger légèrement et calmer la douleur, faites boire le suc de peucedanum à la dose de trois cyathes (*cyathe* = 0^{litre},045).

30. (*Matrice se déviant ou devenant sèche; remède.*) Si les matrices sont aux lombes ou dans le flanc, voulant les déplacer, broyez du soufre et de l'asphalte, versez du miel cuit, et faites un gros suppositoire qui sera mis dans le siége; si les matrices deviennent sèches, on fera la même application au plus tôt.

31. (*Cancer utérin.*) Quand les matrices deviennent dures et font saillie dans les parties génitales, quand les aines se durcissent et qu'il y a de la chaleur aux parties génitales, le cancer commence à se former. Les choses étant ainsi, prenez le dedans d'une courge, écrasez-le avec un rayon de miel, en y versant une cotyle d'eau; ceci sera injecté en lavement, et on laissera opérer.

32. (*Énumération de breuvages et pessaires propres à provoquer la sortie du chorion et les règles.*) Quand vous donnez un médicament à une femme, mêlez-y ce qui purge les matrices et ce qui les pousse. Autres breuvages et pessaires capables d'expulser le chorion et de provoquer les règles : prenez cinq cantharides, ôtez les ailes, les pattes et la tête; puis pilez plein une conque de tribolos du bord de la mer avec la racine (*sennebiera coronopus*, d'après Fraas); pilez une dose égale de l'anthemum vert (*matricaria parthenium*), autant de graine de persil, quinze œufs de sèche, et faites boire dans un vin doux coupé d'eau. Quand il y a douleur, la femme prend un bain de siége d'eau chaude, et boit du mélicrat étendu d'eau

premier livre des Maladies des Femmes, τὸ ἴσον, et omettre ὅσον κόγχην. – σελίνου.... γλυκεῖ om. G. – καὶ (καὶ om. Cθ, Ald.) σελίνου vulg. – σελινούσπερμα θ. – ὅσον pro ἴσον C. – ἐπιθεὶς pro σηπίης C. – σιπίης HIK. – πεντεκαίδεκα CHJKθ, Lind. – πέντε καὶ δέκα DI. – ιε vulg. — [12] ἢ (ἢ om. Cθ) ὀδ. vulg. – καθίσθω θ. – μελίκρητα CHθ. – μελίκρητον vulg. – ὑδαρὲς K. — [13] ἕτερον Cθ (Q', ἄλλο). – ἕτ. om. vulg. – τοῦ om. Cθ. – ἄνθους D. – αιγειναιον (sic) θ. – σταφίδας C.

τριμμένου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πιεῖν· ἐπὴν δὲ ἡ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι [1] καὶ ψύξας διδόναι πιεῖν, καὶ ὁκόταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιερῷ καθεζέσθω. [2] Ἕτερον· ἀδιάντου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ λευκῷ ἴσον ἴσῳ κεράσας δίδου πίνειν. [3] Ἕτερον· λευκοΐου καρπὸν ὅσον τοῖσι τρισὶ δακτύλοις λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν αὐτὸν τρόπον κεράσας, δοῦναι [4] πίνειν. [5] Ἕτερον· λευκοΐου ῥίζαν τοῦ μέλανος ἐν οἴνῳ τὸν αὐτὸν τρόπον χρήσθω. [6] Ἕτερον· κρινάνθεμον τὸ ἐπὶ τῶν οἰκιῶν φυόμενον τὸν αὐτὸν τρόπον πῖσαι. [7] Ἕτερον· τῆς ἀγχούσης τὰ φύλλα ὅσον δύο δραχμίδας ἐν οἴνῳ ἐφθῷ κεράσας ὕδατι ἴσῳ πῖσαι. [8] Ἕτερον· χαμαιλέοντος τὴν ῥίζαν ξύσας ὅσον ἐλλεβόρου πόσιν ἐν οἴνῳ ἐφθῷ κεράσας ὕδατι πῖσαι. [9] Ἕτερον· κράμβης καὶ πράσου χυλὸν ἑκατέρου μίξας, ὀπὸν σιλφίου ὅσον τρία ἡμιωβόλια, οἴνῳ ἴσῳ μίξας λευκῷ πῖσαι. [10] Ἕτερον· ἐλαίας λευκὰς πρόσθεν ἢ ἔλαιον εἶναι κατακνήσας ξήρανον· ἔπειτα κόψας καὶ [11] σήσας ἐν οἴνῳ ἐπιβαλὼν διδόναι πίνειν. Τοῦτο [12] καὶ ἐπιμήνια κατασπᾷ [13] καὶ χόριον ἐξελάσει. Δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν, ἐν ὕδατι πιεῖν. [14] Χόριον ἢν μὴ δύνασαι ἐκβαλεῖν πιπίσκων, προπυριήσας τῇ ἀκτῇ, χυλῷ ἐφθῷ πυρίην ἐμβαλὼν, τὴν κανθαρίδα προστιθέναι· τοῦτο καὶ τὸ ἔμβρυον ἐξελαύνει· ὁκόταν δὲ δάκνῃ, [15] ἀφαιρευμένη, ἐς ῥόδινον μύρον ἐμβά-

[1] Καὶ om. Cθ. – πίνειν C. – ἔχῃ om. J. – χλιαιρῷ θ. – χληρῷ K. – χλιαρῷ J. – καθίσθω θ. – καθήσθω C. — [2] ἕτερον CHθ. – ἕτ. om. vulg. – δοῦναι Cθ. – πιεῖν θ. — [3] ἕτερον CHθ. – ἕτ. om. vulg. – λευκὸν ἴον C. – ὅσον ἐν (ἐν om. Cθ) vulg. – τοῖσι θ. – τοῖς vulg. — [4] πιεῖν CKθ. — [5] ἕτερον CHθ. – ἕτ. om. vulg. – λευ.... χρήσθω om. G. – οἴνῳ διεὶς (διεὶς om. Cθ, Ald.) τὸν vulg. – χρείσθω I. — [6] ἕτερον CHθ. – ἕτ. om. vulg. – τὸ om. Cθ. – μῖξαι καὶ (μ. καὶ om. Cθ) πῖσαι vulg. — [7] ἕτερον Cθ. – ἕτ. om. vulg. – ὅσον Cθ. – ὅσον om. vulg. – λευκῷ pro ἐφθῷ legit Cornar. – ἴσῳ CDHθ. – ἴσως vulg. — [8] ἕτερον Cθ. – ἕτ. vulg. – χαμελέοντος F, Ald. – ξύσας om. K. – ὅσον θ. – οἷον (οἷον om. C) vulg. – πότιζε pro ἐφθῷ (C, erat prius πότι) θ. – καὶ ὕδατι Cθ. – πῖσον θ. — [9] ἕτερον CHθ. – ἕτ. om. vulg. – κράμβης.... πῖσαι om. G. – πράσσου C. – μίξας.... ἴσῳ om. θ. – μίξας (addunt καὶ DF) τὸν (τὸν om. C) ὀπὸν vulg. – τριώβολον (τριόβολον Ald., Frob.) vulg. – τρία ἡμιωβόλια CF (JQ′, Lind., ἡμιώβολα; DHIK, ἡμιόβολα). – ἴσῳ om. K. — [10] ἕτερον CHθ. – ἕτ. om. vulg. – ἐλαίας λευκὰς legit Foes in not. – ἐλαίης λευκῆς vulg. – ἐλαίης λευκῆς [καρπὸν] Lind. – εἶναι CDHIJKθ. – ἐνῇ (οἴνω pro ἐνῇ G, Ald.) vulg. – κατακνίσας DHIJKθ, Ald. — [11] κατασείσας, ead. manu σή C. – πιεῖν Cθ. — [12] καὶ τὰ ἐπ. D. — [13] καὶ om. CHJK. – καὶ χ. ἐξ. om. (D, restit. al. manu cum χωρεῖον) G, Ald. – χόριον CJ. – χορίον IKθ, Lind. – χωρίον vulg. – Post χ. addunt αὐτὸ Cθ. – ἐξελάσαι CHJθ. – δικτάμου DH. – κρητικὸν J. – πίνειν C. — [14] χό-

Autre : prenez à la dose d'un statère d'Égine (*pièce d'or*) les feuilles et la fleur pilées du batrachion (*ranunculus asiaticus*), et faites boire dans du vin doux ; quand il y a douleur, faites cuire des pois chiches blancs et des raisins secs dans de l'eau, refroidissez et faites boire ; quand il y a strangurie, bain de siége chaud. Autre : prenez de l'adiante à la dose d'un statère d'Égine, et faites boire dans du vin blanc coupé de moitié d'eau. Autre : prenez une pincée de graine de leucoïum (*viola odorata*), et faites boire dans du vin blanc coupé de même. Autre : administrez de la même façon dans du vin la racine du leucoïum noir (*viola odorata*). Autre : administrez de la même façon le crinanthemum (*sedum*) qui vient sur les maisons. Autre : prenez, de feuilles d'anchuse, deux poignées, et faites boire dans du vin cuit coupé de moitié d'eau. Autre : raclez de la racine de chaméléon (*chondrilla juncea,* L.) autant qu'on met d'hellébore en une potion, et faites boire dans du vin cuit coupé avec de l'eau. Autre : mêlez de l'eau de chou et de poireau, du suc de silphion à la dose de trois demi-oboles, autant de vin blanc que de l'eau susdite, et faites boire. Autre : coupez des olives blanches avant que l'huile y soit formée, faites sécher, puis pilez, passez au tamis, jetez dans du vin et faites boire. Ceci provoque les règles et chasse le chorion. Boire dans de l'eau gros comme une obole de dictame de Crète. Si vous ne pouvez pas faire sortir le chorion par les breuvages, administrez une fumigation avec le sureau (elle se fait avec la décoction), et mettez le pessaire à cantharide ; ce moyen chasse aussi le fœtus ; s'il cause de la mordication, la femme l'ôtera, le trempera dans le parfum de rose, et le remettra jusqu'à l'issue du chorion. Autre : prenez des nœuds résineux, au nombre de neuf, du peuplier de Crète

ριον CDJ. – χορίον IKθ, Lind. – χωρίον vulg. – πιπίσκων ἐκβαλεῖν C (θ, ἐκβάλλειν). – ἐμβαλεῖν Ald. – πυριήσας τῆς ἀκτῆς τῷ χυλῷ ἑφθῷ ἐμβαλὼν καὶ τὴν κ. πρ. vulg. – προπυριήσας τῇ ἀκτῇ χυλῷ ἑφθῷ πυρίην (πυριῆν θ) ἐκβάλλων (ἐνβάλλων θ) πρ. τὴν κ. Cθ. — [15] ἀφαιρουμένη vulg. – ἀπερευμένη C. – ἀφερευμένη θ. – ἐς Cθ, Vaticana exempl. ap. Foes in not., Lind. – ἐς om vulg. – ῥοδινὸν θ.

πτουσα, προστιθέσθω, [1] ἔστ' ἂν ἀποφύγῃ. [2] Ἕτερον· αἰγείρου κρητικῆς κόκκους ἐννέα τρίψας ἐν οἴνῳ [3] διδόναι πίνειν· τουτέῳ καὶ ἀπολύσασθαι, ἢν δυστοκέῃ. [4] Ἕτερον· κονύζης ὅσον χεῖρα πλείην διεῖναι πράσου χυλῷ, καὶ νέτωπον ξυμμίξας ὅσον χηραμίδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν. Ἐπιμήνια κατασπᾷ. [5] Πευκέδανον καὶ πάνακες καὶ γλυκυσίδης ῥίζαν ἐν οἴνῳ δίδου πίνειν. Ἔμβρυον [6] ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. Τοῦ ἴου καὶ τῆς ἀνδράχνης τὸν καρπὸν, ταῦτα μίξας, λεῖα κόψας, δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ. [7] Ἐπιμήνια κατασπᾷ. Λευκοΐου τὸν καρπὸν ὅσον τρισὶ δακτύλοισι, καὶ αἰγὸς σπυράθους ὅσον πέντε ἢ ἓξ ξυμμίξας [8] οἴνῳ εὐωδεστάτῳ, προπυριήσας, ἐς ὕδωρ [9] καὶ ἔλαιον τὴν πυρίην ἐμβαλὼν, πυριῆν δὲ ἐπὶ δίφρου· ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν, καὶ ὡς τάχιστα λούσαντα κατακλῖναι· [10] δοῦναι δὲ φαγεῖν κράμβην, καὶ τοῦ χυλοῦ ῥοφῆν. [11] Ἕτερον· λευκοΐου τὸν καρπὸν ὅσον τοῖς τρισὶ δακτύλοισιν ἐν οἴνῳ δοῦναι πιεῖν, καὶ καθήσθω ἐν ὕδατι θερμῷ· ἢν δὲ μὴ ἔχῃ, [12] μαράθρου ῥίζας κλάσας, ἐν μελικρήτῳ χλιερῷ ἀποβρέχων, δίδου. [13] Ἕτερον· μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ δοῦναι πιεῖν. Τοῦτο ἀγαθὸν [14] ἐπὶ παντὸς ἀλγήματος ὑστερέων, καὶ σφόδρα διουρητικόν. [15] Ἕτερον· ὀπὸν σιλφίου ὅσον ὄροβον, καὶ καρδάμου καρπὸν τρίψας λεῖα καὶ ξυμμίξας ἐν οἴνῳ, ἢ ἐν κυνὸς γάλακτι, δίδου πιεῖν. Τοῦτο καὶ ἔμβρυον ἐξελαύνει. [16] Ἐκβόλιον· βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ἐν ὄξει εὔκρατον

[1] Ὅταν DHIJKQ'. – ὁκόταν G. — [2] ἕτερον Cθ. – ἕτ. om. vulg. – αἰγίρου C. – κρητικοῦ vulg. – Lisez κρητικῆς, comme dans le passage parallèle de Morb. Mul., I. — [3] δ. om. Cθ. – τουτέῳ δὲ (δὲ om. θ) καὶ vulg. – ἀπολούσασθαι vulg. – ἀπολύσασθαι θ. – ἢν δ. om. (D, sed sunt hæc verba in marg.) FG. – δυστοκῇ θ. — [4] ἕτερον Cθ. – ἕτ. om. vulg. – κυνόζης (sic) C. – λείης vulg. – λίης θ. – πλείης DFGHIJK. – λάβῃς conjicit Foes in not. – Lisez πλείην comme dans le passage parallèle de Morb. Mul., I. – χυλοῦ C. – κενέτω, eadem manu καὶ νέτω, alia πον C. – συμ. CDGI, Ald., Frob. – χηραμύδα Cθ. – πιεῖν C. — [5] πευκέδανον θ. – πευκεδανὸν vulg. – πάνακος Vaticana exempl. ap. Foes, Ald. – ῥίζαν om. J. – πιεῖν C. — [6] ἐκβάλλειν θ. – ἐμβάλλειν C. – τεθνειὸς C. – τεθνιὸς θ. – τεθνεὼς J. – κατὰ ὑστέρας pro καὶ τὰ ὕσ. Cθ. – ὀνίου pro τοῦ ἴου Cθ. – καὶ τῆς om. C. – ἀνδράχλης θ. – ταῦτα μίξας, λεῖα κόψας Cθ. – ταῦτα διακόψας καὶ μίξας vulg. – δίδου om. J. – δίδου πίνειν C. — [7] ὅμοιον κατασπὸν (sic) ἐπιμήνια in marg. pro ἐπ. κατ. D. – κατασπᾶν θ. – ὁ καρπὸς vulg. – τὸν καρπὸν Cθ. – τοῖς τρίσι C. – δακτύλοισιν C. – δακτύλοις vulg. – Post δακτ. addit ἐπιλαμβανόμενος vulg. – ἐπιλ. om. C. – πυράθους C. – ταῦτα (τ. om. C) ξυμ. (συμ. CDθ) vulg. — [8] ἐν οἴνω C. – προπυριήσας Cθ. – προπυριάσας vulg. – προσπυριάσας H. – προσπυριήσας D. — [9] καὶ om. K. – πυριῆν ἐμβάλλοντα, πυριῆν δὲ θ. – ἐμβαλὼν, πυριῆν om. C. –

(*populus græca*), pilez-les et faites-les boire dans du vin ; c'est un moyen qui favorise aussi la délivrance quand l'accouchement est laborieux. Autre : prenez une poignée de conyza, trempez-la dans la décoction de porreau, mêlez une conque de nétopon (*huile d'amandes amères*), et faites boire dans du vin. Ceci provoque les menstrues. Prenez du peucedanum (*peucedanum officinale*), du panaces (*echinophora tenuifolia*), de la racine de pivoine, et faites prendre dans du vin. Ceci expulse l'embryon mort et les secondines. Prenez la graine de la violette et de l'andrachné (*portulaca oleracea*), mêlez, pilez bien, et faites prendre dans du vin blanc vieux. Ceci provoque les règles. Prenez une pincée de graine de leucoïum (*viola odorata*), cinq ou six crottes de chèvre, mêlez dans du vin de très-bonne odeur ; alors administrez une fumigation préparée avec l'eau et l'huile et faite sur un siége ; après la fumigation, donnez à boire le mélange ; aussitôt, lavez la femme et faites-la coucher ; elle mangera du chou, et en boira la décoction. Autre : prenez une pincée de graine de leucoïum, et faites-la boire dans du vin ; la femme prendra un bain de siége chaud ; sinon, broyez des racines de fenouil, trempez-les dans du mélicrat chaud, et faites boire. Autre : prenez dix galles de frêne et faites-les boire dans du vin. Cela est bon pour toutes les douleurs de la matrice et très-diurétique. Autre : prenez gros comme un grain d'ers de suc de silphion et de la graine de cardame (*erucaria aleppica*, d'après Fraas), pilez bien, mêlez dans du vin ou dans du lait de chienne, et faites boire. Ceci

ἐμβαλλόντα (sic) DIJ. - ἐμβαλλόντες (sic) H. - ἐμβάλλοντα K. - ἐμβαλόντα Q'. - καὶ om. ante ὡς Lind. - κατακλῆναι C. — [10] καὶ δοῦναι sine δὲ Cθ. - τε pro δὲ DH. - τὸν χυλὸν Cθ. - ῥοφῆν CJ. - ῥοφεῖν vulg. — [11] ἕτερον CDθ. - ἕτ. om. vulg. - ἶσον θ. - δακτύλοισιν C. - δακτύλοις vulg. - καθίσθω θ. — [12] μαράθου CGHIJKθ, Ald. - ῥίζαν C. - θλάσας CGIJK, Ald., Frob. - φλάσας DH. - χλιαρῷ θ. - χλιηρῷ J. - ἀποβρέχειν C. — [13] ἕτερον C (D, ἄλλο) θ. - μολίης θ. - μέλι ὅσον κόκκου, al. manu κόκκους C. - πίνειν δίδου C. — [14] ἐπὶ om. Cθ. - ἁλιήματος (sic) θ. — [15] ἕτερον CDHθ. - ἕτ. om. vulg. - ὄρροβον C. - λία θ. - συμμ. C. - μίξας θ. - ἐν om. FG. - δοῦναι Cθ. - καὶ τὸ ἔμβρ. C. — [16] ἄλλο in marg. pro ἐκβ. D (J, ἕτερον). - βατραχίου θ. - ἐλατήριον K. - μικρὸν om. DFGHJK.

πῖσαι. [1] Ἐπὶ τοῦ αὐτοῦ· κράμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας νετώπῳ, τύψαι. [2] Ἢν τὰ ἐπιμήνια μὴ γίνηται· τερμίνθου καρπὸν τρίψας ἐν οἴνῳ καὶ ὕδατι διεὶς καὶ διηθήσας διδόναι νήστει πιεῖν, καὶ θερμῷ λουέσθω. [3] Ἐμμήνια κινεῖν· φοινικικοὺς κόκκους ἐν οἴνῳ νήστει διδόναι πίνειν. [4] Λοχεῖα καθαίρειν· μαράθρου καρπὸν καὶ κρηθμοῦ τὸν φλοιὸν καὶ λιβανωτὸν ἐν οἴνῳ διδόναι πίνειν. [5] Ἕτερον· δᾶδα ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας, καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης δοῦναι πιεῖν. [6] Ἕτερον· λινοζώστιος τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοῦναι πιεῖν. [7] Ἕτερον· γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε καὶ ὠὰ σηπίης δοῦναι πίνειν ἐν οἴνῳ. [8] Λεχοῖ πάσῃ· ἐρύσιμον καὶ ἄλφιτον, ἔλαιον παραχέας, ὅταν ᾖ ἑφθὸν, ῥοφείτω, καὶ σιτίοισιν ὡς μαλακωτάτοισι χρήσθω. [9] Ἕτερον· σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ ἐν εἰρίῳ ἀνασπογγίσας προσθεῖναι. [10] Ἕτερον· λινοζώστιος φύλλα τρίψας, ἐν ῥάκει προσθεῖναι. [11] Ἕτερον· τὴν ποίην τὴν ἀρτεμισίην τρίψας καὶ μύρῳ ῥοδίνῳ δεύσας προσθεῖναι. [12] Ἕτερον· τὴν λευκὴν ῥίζαν λείην κόψας ῥοδίνῳ μύρῳ δεύσας προσθεῖναι. [13] Ἕτερον· τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ καὶ Αἰγυπτίῳ ἐν ἐρίῳ προσθεῖναι. [14] Ἕτερον· ἄλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι.

[1] Ἐ. τ. α. om. F. – ἐκβόλιον pro ἐ. τ. α. J. – ἔμβρυον ἐξελαύνειν pro ἐ. τ. α. C (DHIKL, ἐξελαύνει). – τύψαι CDFHIJKθ. – τρῖψαι vulg. — [2] ἔμβρυον ἐξελαύνει pro ἢν τ. ἐ. μ. γ. I. – οὐ γίνεται D. – γίγν. C. – τερμινθίνης, al. manu μίνθου D. – τερμίνθης H. – νηστίδι Cθ. – πίνειν C. – λουέσθω θερμῷ C. — [3] ἔμμηνα θ. – κινεῖ D (J, in marg., et in textu ἢν τὰ ἐπιμήνια μὴ γένηται) K. – φοινικίκους θ. – φοινικίνους conjicit Foes. – Foes pense qu'on peut regarder ces grains comme désignant le *grain cnidien*, nommé si fréquemment dans la Collection hippocratique; les autres traducteurs croient qu'il s'agit du grain rouge de la pivoine. – νηστίδι Cθ. – νήσ. om. K. — [4] λόχια C. – λοχία G. – λέχῃ σπάσαι pro λ. κ. DQ'. – καθῆραι Cθ. – καθαίρει J. – περὶ λοχιῶν (sic) καθάρσεως θ. – μαράθου GHJKθ. – κρίθμου D. – πιεῖν θ. — [5] ἕτερον CHθ. – ἕτ. om. vulg. – δαῖδα vulg. – δάδα (sic) C. – δαδα θ. – δᾶδα D. – πιωτάτην Ald., Frob. – Ante πέντε addit περὶ C. – τεταρτιμόριον C. — [6] ἕτερον CHθ. – ἕτ. om. vulg. – λινοζώστιδος C. – λινοζώστεος DGHIJKθ. – τῶν καρπῶν CK. – τῶν φύλλων CDGHIJKθ. — [7] ἕτερον Cθ. – ἕτερον om. θ. – σηπίας ὠὰ C. – σηπίης Jθ. – σιπίων HIK. – σηπύων Ald. – σηπίων vulg. – δίδου C. – πιεῖν Cθ. — [8] λέχῃ σπᾶσαι DJQ'. – λεχῷ H. – λεχὼ K. – λέχοι G. – εἰς (εἰς om. CHθ) ἐρ. vulg. – ὅταν Cθ. – ὅταν om. vulg. – ἢ vulg. – ᾖ θ. – ῥοφάτω H. – σίτοισιν Cθ. – μαλθακωτάτοισι CDK. — [9] ἕτερον θ. – ἕτ. om. vulg. – ἕτερον ὁμοίως H. – καλλωνίην C. – καλονίην Vatic. ap. Foes in not. – καλων ειης (sic) pro σκαμμ. θ. — [10] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἕτερον ὁμοίως H. – λινο-

expulse aussi le fœtus. Abortif : prenez du batrachion (*ranunculus asiaticus*) et un peu d'élatérion, mêlez dans du vinaigre, et donnez à boire coupé convenablement. Pour le même objet : prenez la tige tendre du chou, frottez-en l'extrémité avec du nétopon, et frappez. Si les règles ne viennent pas : prenez le fruit du térébinthinier, broyez, trempez dans du vin et de l'eau, passez, et faites boire à jeun; la femme se lavera à l'eau chaude. Pour provoquer les règles : faites boire dans du vin à jeun cinq grains rouges (*voy. note* 3). Pour faire aller les lochies : prenez de la graine de fenouil, de l'écorce de crethmos et de l'encens, et faites boire dans du vin. Autre : prenez des branches de pin aussi résineuses que possible, faites cuire dans du vin, pilez cinq grains de pivoine dans du vin, et faites boire à la dose d'un quart de cotyle. Autre : prenez la graine et les feuilles de la mercuriale, et faites boire dans du vin. Autre : prenez cinq grains noirs de pivoine et des œufs de sèche, et faites boire dans du vin. Pour toute nouvelle accouchée, prenez de l'érysimum (*sysimbrium polyceratium*) et de la farine d'orge, jetez-y de l'huile, quand cela est cuit; la femme prendra cela en potage et usera des aliments les plus émollients. Autre : pilez de la scammonée dans du lait de femme, épongez avec de la laine, que vous appliquerez en pessaire. Autre : pilez les feuilles de la mercuriale et appliquez-les dans un linge. Autre : broyez de l'armoise, trempez-la dans l'huile de rose, et appliquez-la. Autre : pilez bien la racine blanche (*la racine du dracontion, dracunculus polyphyllus*), trempez-la dans l'huile de rose et appliquez-la. Autre : trempez de la pivoine dans du miel, de l'huile de rose et du parfum d'Égypte, et appliquez dans de la laine. Autre :

ζώστιδος C. - ῥάχει C. — [11] ἕτερον Cθ. - ἕτ. om. vulg. - ἕτερον ὁμοίως H. - καὶ om. Cθ. - ῥοδινῷ θ. - δεῦσας (sic) C. — [12] ἕτερον θ. - ἕτ. om. vulg. - ἕτερον ὁμοίως H. - τὴν.... προσθεῖναι om. C. - τὴν.... ἐρίῳ προσθεῖναι om. FGJ. - λίην θ. - καὶ μ. ῥοδ. IK. — [13] ἕτερον Cθ. - ἕτ. om. vulg. - τῆς om. C. - τῆς.... προσθεῖναι om. (D, restit. al. manu) HIK. - καὶ γυπίῳ pro καὶ αἰγ. C. - εἰρίῳ θ. — [14] ἕτερον CHθ. - ἕτ. om. vulg. - ἄλυτον J. - ἄλητον.... προστιθέναι om. K.

[1]Ἕτερον· αἰρῶν ἄλευρον καὶ πύρινα ἅμα μέλιτι φυρήσας ἐν εἰρίῳ προστιθέναι. [2]Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων, καὶ ὕδωρ ἄγει· στρουθίου ῥίζης λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισι μέλιτι δεύσας προσθεῖναι· φύεται δὲ ἐν Ἄνδρῳ ἐν τοῖσιν αἰγιαλοῖσιν. [3]Ἕτερον· ὑστέρας ἀποκαθῆραι· λινοζώστιος κεκομμένης καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ καὶ μέλιτι δεύσας προστιθέναι. [4]Ἕτερον· λαγωοῦ τρίχας κατακαύσας καὶ τρίψας ἐν οἴνῳ καὶ μέλιτι δεύσας ἑφθῷ καὶ ὕδατι δοῦναι πιεῖν, καὶ τῷ θερμῷ λουέσθω. Τόκου καθαρτήριον· [5]κρίθην ἐρείξας, ὅσον ἥμισυ ἡμιχοινικίου, ἑψεῖν ἐν ὕδατος κοτύλαις τέσσαρσιν· ὁκόταν δὲ ζέσῃ, [6]δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι. [7]Λοχεῖα καθῆραι· τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον, δοῦναι πιεῖν· ἐσθιέτω δὲ καὶ κράμβας ἑφθὰς καὶ πράσα. Καθαρτήριον [8]ὑστερέων· τοῦ ῥοῦ τὰ φύλλα καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι, καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ, ἄλφιτα ἐπιβαλὼν, δοῦναι πιεῖν. [9]Ἕτερον· μίσυος ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ καὶ φυρήσας προσθεῖναι. [10]Ἕτερον· λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι. [11]Ἕτερον· τριφύλλου τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. [12]Ἢν ἐς τὴν ὀσφῦν ὑστέραι καταστηρίξωσιν, ἐσθιέτω πουλύποδας ἑφθοὺς καὶ ὀπτοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. [13]Ἕτερα ποτὰ καὶ προσθετὰ καθαρτήρια· ῥοῦν τὴν ἐρυθρὴν καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ [14]σιτανίου ἐμβαλὼν ἐπὶ τὸ ὕδωρ

[1] Ἕτερον CHθ. – ἕτ. om. vulg. – αἰρῶν CDH. – αἶρων vulg. – πυρίανα (sic) C. – ἅμα om. Cθ. – προσθεῖναι θ. — [2] καθαρτήρηον C. – ἐπιμηνίοισι C. – λοχίων CDJ. – [ὃ] καὶ ὕδωρ Lind. – ἀγῆς (sic) pro ἄγει C. – ἄγου J. – λίου θ. – ὅσον Cθ, Lind. – οἷον vulg. – τοῖς θ. – δακτύλοις Cθ. – δὲ om. θ. – δὲ ἐν om. C. – ἄνδρα (sic) C. – τοῖσιν CHθ. – τοῖς vulg. – αἰγιαλοῖσιν CHIθ. – αἰγιαλοῖς vulg. — [3] ἕτερον Cθ. – ἕτ. om. vulg. – λινοζώστιας C. – σικύης acciperet pro cucumere agresti Foes in not. cum Cornar. – τε καὶ K. – δεύσας ... μέλιτι om., restit. al. manu D. — [4] ἕτερον CHθ. – ἕτ. om. vulg. – λαγοῦ Cθ. – καὶ ante τρίψας om. Cθ. – καὶ μέλιτι δεύσας om. Cθ. – καὶ ἐν ὕδατι θερμῷ vulg. – καὶ τῷ θερμῷ Cθ. – λούεσθαι DIJQ'. — [5] κρίμνην vulg. (C, al. manu κρίθην). – κρήμνην K. – λάμνην (D, al. manu κρίμνην) Q'. – κάμνην Exempl. regg. ap. Foes in not. – κρίμνον Lind. – ἐξερίσας vulg. – ἐξαιρήσης C. – ἐξερύσας J. – εριξας (sic) θ. – La vraie leçon est celle de θ; comp. πυροὺς τριμηνιαίους ἐρείκειν De Morb. Mul., I. – ἕψειν C. — [6] δ. om. C. — [7] δόχια (sic) C. – λόχια DJ. – καθαίρει DQ', Lind. – αὐτῆς pro ἀκτῆς Frob. – ἐν ὕδατι ἑψήσας θ. – ἐλαίῳ C. – ἐλαίου θ. – καὶ πράσα om. CG. — [8] ὑστερῶν H. – τοῦ.... δοῦναι καὶ om. G, Ald. – καὶ.... δοῦναι om. Cθ. – ἐρίσιμον J. – λία θ. – λεῖα C, Ald. – καὶ (καὶ om. Cθ) ἄλφιτα vulg. – δίδου C. — [9] ἕτερον CHθ. – ἕτ. om. vulg. – ὅσον om. C. – καὶ om. Cθ. — [10] ἕτερον ποτὸν καὶ προσθετὸν C. – ἕτ.

appliquez de la même façon de la farine non lavée. Autre : pétrissez ensemble de la farine d'ivraie et de blé avec du miel, et appliquez dans de la laine. Préparation qui provoque les règles et les lochies et fait couler l'eau : prenez une pincée de racine de struthion (*saponaria officinalis*), pilez bien, trempez dans du miel et appliquez ; le struthion vient dans l'île d'Andros sur le bord de la mer. Autre, pour purger la matrice : broyez de la mercuriale et un peu de citrouille, trempez dans du vin et du miel, et appliquez. Autre : brûlez des poils de lièvre, broyez dans du vin, ajoutez du miel cuit et de l'eau et faites boire ; la femme se lavera à l'eau chaude. Pour nettoyer après l'accouchement : prenez un quart de chœnice d'orge (*chœnice* = 1^litre^,08), broyez, faites cuire dans quatre cotyles d'eau ; quand cela a bouilli, donnez à prendre deux ou trois fois en potage. Pour purger les lochies : faites cuire les feuilles du sureau, versez de l'huile et faites boire ; la femme mangera aussi des choux bouillis et des porreaux. Mondificatif de la matrice : faites boire les feuilles et la graine du sumac dans du vin ; pilez de l'érysimon dans du vin, jetez de la farine, et faites boire. Autre : broyez dans du vin deux oboles de misy (*sulfate de fer ou de cuivre*), pétrissez et faites un pessaire. Autre : pilez la graine de lin, pétrissez avec du vin, et faites un pessaire. Autre : donnez à boire dans du vin la graine du trèfle. Si les matrices se fixent aux lombes, la femme mangera des poulpes bouillis et grillés ; elle boira du vin noir, de bonne odeur, pur autant que possible. Autres breuvages et pessaires mondificatifs : faites cuire dans de l'eau du sumac rouge et des pepins de raisin, jetez dans l'eau de la farine de

om. vulg. – λίνου.... προσθεῖναι om. GHIJK. — [11] ἕτερον Cθ. – ἕτ. om. vulg. – τρυφύλλης J. — [12] ἐὰν δὲ ἐς vulg. – ἢν ἐς Cθ. – Ante ἢν addit al. manu λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι D. – In marg. πρὸς τὴν ἐν τῇ ὀσφύϊ καταστηρίζουσαν μῆτραν θ. – καταστηρίζωσιν θ. – στηρίζωσιν CDK. – στηρίξωσιν J, Lind. – στηρίζουσιν HI. – στηρίξουσιν vulg. – ἐστιέτω (sic) C. – πολύποδας CJ. – Ante ἑφθοὺς addunt καὶ Cθ. — [13] ἕτερος ποτὸς προσθετὸς καὶ καθαρτήριος DJ. – ποτὰ (ποτὰ om. K) (καὶ Lind.) πρ. καὶ καθ. vulg. – ποτὰ καὶ πρ. καθαρ. Cθ. — [14] σηπανίου DGI, Ald. – σηπανείου J. – ἐμϐ. om. C. – ἐμϐάλλων DHIJθ, Lind. – πίνειν δίδου C.

δίδου πίνειν. [1]Ἕτερον· ἄλητον ἐφ' ὕδωρ ἐμβαλὼν, δίδου πιεῖν. [2]Ἕτερον· μόρα τὰ ἀπὸ τοῦ βάτου ξηρήνας καὶ τρίψας λεῖα καὶ ἄλφιτα ποταίνια ἀναμίξας ὅσον ὀξύβαφον ἀμφοτέρων ἐν οἴνῳ εὐώδει καὶ ὑδαρεῖ πινέτω. [3]Ἕτερον τὴν γῆν τὴν μέλαιναν τὴν Σαμίην ἐν ὕδατι τρίψας ὅσον ἀστράγαλον δίδου πιεῖν. [4]Ἕτερον· ὑποκιστίδος ἐν οἴνῳ διδόναι πιεῖν. [5]Ἕτερον· σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας τῷ χυλῷ, ξήρηνον· ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον, δίδου πιεῖν. [6]Ἕτερον· μύρτων μελαινῶν τὸν καρπὸν τρίψας, διεὶς ἐν ὕδατι, ἄλφιτα ἐπιβαλὼν, δίδου πίνειν. [7]Ἕτερον· ῥοιὴν γλυκείην ὀπτήσας, ὁλκὴν τρίψας ἐν οἴνῳ δίδου πίνειν. [8]Ἕτερον· πυροὺς καὶ κάγχρυας τρίψας, φρύξας τε καὶ ἄλητα ποιήσας, ἐν οἴνῳ μέλανι δίδου πιεῖν. [9]Ἕτερον· ῥοιῆς γλυκείης τὰ εἴσω ξυμμίξας ἴσῳ ὕδατι, δίδου πίνειν. [10]Ἕτερον· κώνειον ὅσον τοῖσι τρισὶ δακτύλοισιν ἐν ὕδατι δίδου πίνειν. [11]Ἕτερον· ἀλήτου σιτανίου καὶ γύψου τὸ ἴσον μίξας ἐν ὕδατι δίδου πίνειν. [12]Ἕτερον· ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σίδια ἐν οἴνῳ δίδου πίνειν. Ἢν αἷμα ἐξ [13]ὑστερέων ῥέῃ, ἄγνου φύλλα ἐν οἴνῳ μέλανι δίδου πιεῖν. [14]Ῥόου καὶ ὀδύνης· κάχρυος ῥίζην ἐν οἴνῳ διδόναι πίνειν. Ἕτερα ποτὰ [15]ὑστερέων· κεδρίδας, σέσελι, κύμινον Αἰθιοπικὸν, κασίης καρπὸν, ἀρκευθίδας, [16]κεγχρίδας, ἐχινίδας, μελάνθιον, δαύκου ῥίζην καὶ τὸν καρπόν· ἀρώματα [17]δὲ θύμον, θύμβρην, ἐρίκην, ὑπερικὸν, μήκωνα λευκὴν, κρήθμου ῥίζας καὶ τὸν καρπὸν, μαλάχης

[1] Ἕτερον θ. – ἕτ. om. vulg. – ἄλητον.... πιεῖν om. C. – ἐμβάλλων θ. – πίνειν K. — [2] ἕτερον Cθ. – ἕτ. om. vulg. – μάραθα CFGHIJKθ, Ald. – μῶρα vulg. – μόρα D, Lind. – ξηρήνια pro ξηρήνας κ. τ. λ. κ. ἄ. ποταίνια θ. – ὀξόβαφον θ. – ἑκατέρων Cθ. — [3] ἕτερον Cθ. – ἕτ. om. vulg. – σαμίαν C. — [4] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἱπποκύστιδος J. – ὑποκυστίδος vulg. – ἐν οἴνῳ om. J. — [5] ἕτερον Cθ. – ἕτ. om. vulg. – σίδας.... πιεῖν om. K. – ξήρινον C. – ξήρηνον θ. – ξήρανον vulg. – λίον θ. — [6] ἕτερον Cθ. – ἕτ. om. vulg. – μελαίνων C. – μελάνων vulg. – ἄλφιτον ἐπιβάλλων θ. — [7] ἕτερον θ. – ἕτ. om. vulg. – ῥοιὴν.... πίνειν om. C. – πίνειν δίδου H. — [8] ἕτερον Cθ. – ἕτ. om. vulg. – πυρροὺς DGHIK. – καὶ om., restit. al. manu D. – χρύας (sic) FGHIK. – κέγχρυας (D, al. manu κάγχρυας) J. – κάχρυας vulg. – φρύξας τε om. C. – τε om. θ. – πίνειν CJθ. — [9] ἕτερον Cθ. – ἕτ. om. vulg. – τὰς θ. – συμμ. CJθ. — [10] ἕτερον Cθ. – ἕτ. om. vulg. – κώνιον IKθ. – τοῖσι IJK (θ, τοῖς). – τοῖσι om. vulg. – δακτύλοις Cθ. — [11] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἀλ.... πίνειν om. G. – ἄλητον C. – σητανείου CJ. – σητανίου DHIθ. – γύψου CDHIJKθ. – γίψου vulg. – πιεῖν θ. — [12] ἕτερον Cθ. – ἕτ. om. vulg. — [13] ἕτερον pro ἢν α. ἐ. ὑ. ῥ. J. – ὑστερῶν C. – ὑστέρων D. – οἴνῳ μέλανι δίδου πίνειν θ. – οἴνῳ δίδου πιεῖν (πίνειν CK) μέλανι (μ. om. C) vulg. — [14] ῥόου κ. ὀ. om. D. – ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ pro

blé de deux mois, et faites boire. Autre : jetez de la farine dans de l'eau, et faites boire. Autre : faites sécher les mûres de la ronce, pilez, mêlez un oxybaphe de farine froide avec un oxybaphe de cette poudre de mûres, et faites boire dans du vin de bonne odeur et coupé d'eau. Autre : broyez gros comme un osselet de terre noire de Samos dans de l'eau, et faites boire. Autre : faites boire dans du vin l'hypocistis (*cytinus hypocistis*). Autre : exprimez le jus de grenades vineuses, pétrissez de la farine d'orge avec ce jus, faites sécher; puis écrasez bien dans du vin et faites boire. Autre : pilez la baie du myrte noir, trempez dans l'eau, ajoutez de la farine d'orge et faites boire. Autre : faites griller une grenade douce, écrasez-en une drachme dans du vin et faites boire. Autre : broyez du blé et de l'orge, faites griller, faites-en de la pâte, et donnez à boire dans du vin noir. Autre : prenez le dedans d'une grenade douce, mêlez-y quantité égale d'eau et faites boire. Autre : donnez à boire dans de l'eau une pincée de conium (*conium maculatum*). Autre : mêlez quantité égale de farine de blé de deux mois et de plâtre, et faites boire dans de l'eau. Autre : donnez à boire dans du vin l'écorce du grenadier doux et la peau de la grenade. Si du sang coule de la matrice, donnez à boire des feuilles d'agnus dans du vin noir. Pour le flux et la douleur, faites boire dans du vin la racine du cachrys (*cachrys cretica*). Autres breuvages pour la matrice : prenez des fruits de cèdre (*un juniperus*), du séséli, du cumin d'Éthiopie, du fruit de la casia (*laurus cassia*), des baies de genièvre, du millet, de petits oursins, du mélanthium (*nigella sativa*), la racine et la graine du daucus ; pour aromates, le thym, la thymbra (*satureia thymbra*), la fougère, l'hypéricon (*hypericum crispum*), le pavot blanc, les racines et

ῥ. κ. ὀ. J. – κάγχρυος DJ. – κραχιος (sic) θ. – ῥάχηος C. – ῥίζαν D — [15] ἕτερα ποτὰ ὑστ. in marg., in textu ῥόου καὶ ὀδύνης J. – ὑστ. om. C. – κεκρίδες C. – κεχριδες (sic) θ. – κασσίης CD. — [16] καὶ ἑδρίδας C. – κεχρίδας DGHIKθ, Ald., Frob. – μελανθίου θ. – μέλανθρυον C. – ῥίζαν CD. – καὶ om. J. — [17] δὲ om. Cθ. – θύμβρη θύμον θ. – θυμβρίην vulg. – θύμβριν C. – ἐρείκην DH. – ὑπερικὴν C. – γλήχωνα Lind. – κρηθμοῦ vulg. – κρίθμου DH. – κριθμοῦ GIJ, Ald., Frob. – μολόχης θ. – λινοζώστηος C.

ῥίζας, λινοζώστιος καρπὸν καὶ τὰ φύλλα, κνίδης καρπὸν, ἐλελίσφακον, αἴγειρον, [1]δίκταμνον, ψευδοδίκταμνον, ἄμωμον, καρδάμωμον, ἐλένιον, ἀριστολοχίαν, καστόριον, ἀδίαντον, δρακόντιον, πευκέδανον, πηγάνου φύλλα καὶ τὸν καρπὸν, σελίνου καρπὸν, μαράθρου καρπὸν, [2]ἱπποσελίνου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας, [3]ἱππομαράθρου καρπὸν [4]καὶ τὰς ῥίζας, στρουθίου [5]τὸν καρπὸν καὶ τὰς ῥίζας, ὕσσωπον Κιλίκιον, ἐρύσιμον, γλυκυσίδην, πάνακες· [6]τουτέων ὅ τι ἂν βούλῃ, καὶ ξυμμίσγων καὶ αὐτὸ καθ' ἑαυτὸ [7]ἀφεψῶν ἐν ὕδατι ἢ ἐν οἴνῳ ὡς ἂν βούλῃ, δίδου πίνειν. Ἀγαθὰ [8]καὶ καθαρτικὰ [9]καὶ τὰς ὀδύνας παύοντα· τῆς μαλάχης δίδου ἐν ὕδατι τὴν ῥίζην. [10]Ὑστερέων· γλυκυσίδης καρπὸν καὶ κέδριον ὀλίγον ξυμμίσγων, ἐν οἴνῳ δίδου πίνειν, καὶ παύσεις ὑστερέων ὀδύνας. [11]Ὅταν αἱ ὑστέραι πνίγωσι· καστόριον καὶ κόνυζαν ἐν οἴνῳ λευκῷ δίδου πίνειν· ἢν δὲ [12]προσεστήκῃ [πρὸς τῇ ῥινὶ], κόκκου τὸ εἴσω τὸ λευκὸν μέλιτι μίξας, ἀλείφειν τὴν ῥῖνα. Ἕτερον [13]παῦον ὀδύνας· μαλάχης τὴν ῥίζαν καὶ μαράθρου φλοιὸν καὶ κρήθμου ἐν ὕδατι δοῦναι πιεῖν. [14]Ἕτερον· ἀστέρας θαλασσίους τοὺς μέλανας καὶ κράμβην, μίξας ἐν οἴνῳ εὐώδει, δοῦναι πιεῖν. [15]Ἕτερον· σμύρναν ὅσον τριώβολον, κόριον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον Αἰθιοπικόν· ταῦτα τρίψας λεῖα, οἴνῳ λευκῷ διεὶς, δίδου πίνειν, ἀκροχλίερον ποιήσας. [16]Ὑστέρας ἐλαύνει· τοῦ κροτωνοειδέος τὴν ῥίζαν δίδου πίνειν. Ἢν πρὸς τὴν [17]καρδίην προσπεσοῦσαι αἱ

[1] Δίκταμον ψευδοδίκταμον CDH. – ἄμωνον C. – ἐλ. om. C. – ἐλ. DGHIJK, Ald., Frob. – εριστιον (sic) pro ἐλ. θ. – ἀριστολόχιον vulg. – ἀριστολοχίαν θ. – πευκεδανὸν GIJ, Ald., Frob. – πήγανον sine φύλλα Cθ. – μαράθου CGHIJK, Ald. — [2] ἱππ. κ. τ. κ. κ. τ. ῥ. om. Cθ. — [3] ἱππομαράθου θ. – ἱππ. κ. κ. τ. ῥ., σ. τ. κ. κ. τ. ῥ. om. (D, restit. al. manu) FGHIJK, Ald. — [4] κ. τ. ῥ. om. θ. — [5] τὸν om. Cθ. – τρίχας pro ῥίζας θ. – ὕσωπον C. – ἐρίσιμον J. – γλυκὺ σίδην C. — [6] ὅ τι ἂν τούτων vulg. – τουτέων (τούτων θ) ὅ τι ἂν Cθ. – συμμ. Cθ. – καθ' αὐτὸ CD. — [7] καὶ ἀφ. καὶ ἐν ὕ. Cθ. – καὶ pro ἢ Cθ. – οἴνω καὶ οὕτως ἐν οἴνω δίδου ὡς ἂν βούλη θ. – δίδου ὡς ἂν βούλη sine πίνειν C. – βούλει H. – πίνειν om. Ald. — [8] καὶ om. DJ. — [9] καὶ om. DJ. – τῶν ὀδυνέων παύει Cθ. – σὺν pro ἐν DGIJK. – Ante τὴν addit ὑστερέων C. – ῥίζαν CDKθ. — [10] ὑστερέων θ. – ὑστ. om. vulg. – κέδριον D. – κέδρινον vulg. – συμμ. Cθ. – καὶ π. ὑ. ὀδ. om. C. – καὶ.... πίνειν om. θ. – παύσῃς D. – ὑστερέων DH. – ὑστερῶν J. – ὑστέρων vulg. — [11] ἕτερον· ὅταν C. – πνιγῶσι C. – δοῦναι πιεῖν C. — [12] προσεστήκει C. – J'ai mis entre crochets πρὸς τῇ ῥινί ; ces mots sont certainement de trop ; comp. le passage parallèle dans le IIe livre des Maladies des Femmes. – ἴσω θ. – ἴσον pro εἴσω J. — [13] π. om. Cθ. – ὀδύνης Cθ. – μαράθου CGHIJKθ, Ald. – καὶ om. C. – κρηθμοῦ vulg. – κρίθμου DH. – κρι-

la graine du crethmos, les racines de la mauve, la graine et les feuilles de la mercuriale, la graine de l'ortie, la sauge, le peuplier, le dictame, le pseudo-dictame, l'amome, le cardamome, l'helenium, l'aristoloche, le castoreum, l'adiante, le dracontium, le peucedanum, les feuilles et la graine de la rue, la graine du persil, la graine du fenouil, la graine et les racines de l'hipposelinum (*smyrnium olusatrum*), la graine et les racines de l'hippomarathrum (*cachrys Morissonii*, Vahl, d'après Fraas), la graine et les racines du struthium, l'hysope de Cilicie, l'érysimon, la pivoine, le panaces ; de ces substances, faites cuire, mêlant celles que vous voudrez, ou isolément celle que vous voudrez, dans l'eau ou dans le vin, comme il vous plaira, et faites boire. Moyens bons, qui sont mondificatifs et qui calment les douleurs : donnez la racine de la mauve dans de l'eau. Pour la matrice, mêlez de la graine de pivoine et un peu d'huile de cèdre, donnez à boire dans du vin, et vous calmerez les douleurs de matrice. Quand les matrices causent de la suffocation, faites boire dans du vin blanc du castoreum et de la conyza ; si cela se prolonge, mêlez avec du miel la partie intérieure et blanche du grain de Gnide, et frottez-en le nez. Autre qui calme les douleurs : prenez la racine de la mauve et l'écorce du fenouil et du crethmos, et faites boire dans du vin. Autre : prenez des étoiles de mer noires et du chou, mêlez et faites boire dans du vin de bonne odeur. Autre : prenez trois oboles de myrrhe, un peu de coriandre, de la résine, la racine de pivoine, du cumin d'Éthiopie ; pilez bien tout cela, trempez dans du vin blanc et faites boire tiède. Moyen qui débarrasse les matrices : faites boire la racine du ricin. Si les matrices, se

θμοῦ GIJ, Ald., Frob. – πίνειν K. — [14] ἕτ. Cθ. – ἕτ. om. vulg. – ὑστέρας D. – δοῦναι om. θ. — [15] ἕτερον Cθ. – ἕτ. om. vulg. – τριόβολον CGIK, Ald., Frob. – λία θ. – ἐν (ἐν om. θ) οἴνῳ vulg. – [καὶ] ἐν οἴνῳ Lind. – διέντα vulg. – διεὶς Lind. – δοῦναι πιεῖν θ. – πίνειν.... πίνειν om. C. – ἀκροχλιηρὸν vulg. – ἀκροχλιαρὸν Lind. – ἀκροχλίερον D. – θερμήναντα ἀκροχλιερὸν pro ἀ. π. θ. — [16] ὕστερα Cornar., Lind. – ἐλαῦνον J. – κροτονοειδέος vulg. – κροτωνοειδέος θ. – κρότωνος legit Foes in not. – πίνειν om. θ. — [17] καρδίαν J. – αἳ om. Cθ. – ἢ πνίγωσιν C. – τὸν κ. τοῦ ἄγνου Cθ. – καὶ τῆς γλυκισίδης (sic) θ. – πιεῖν Cθ.

ὑστέραι πνίγωσιν, ἄγνου τὸν καρπὸν καὶ γλυκυσίδης δίδου ἐν οἴνῳ πίνειν. Προσθετὰ δριμέα [1] αἷμα ἄγοντα· κανθαρίδας πέντε ξυμμίξας τῷ λιβανωτῷ καὶ τῇ σμύρνῃ, τὸ μέγεθος ποίει ὅσον κηκίδα, πρόμακρον ποιήσας, καὶ περιθεὶς εἰρίῳ, περιελίξας τε ὀθονίῳ λεπτῷ, βρέξας μύρῳ Αἰγυπτίῳ λευκῷ ἢ ῥοδίνῳ, πρόσθες. [2] Ἕτερον· βούπρηστιν, ἢν μὲν μικρὴ ᾖ, ὅλην, ἢν δὲ μεγάλη, τὸ ἥμισυ ξύμμισγε πρὸς τοῖς ῥηθεῖσι καὶ τὸν αὐτὸν τρόπον προστίθει. Ἢν δὲ [3] μαλακωτέροισιν ἐθέλωσι χρῆσθαι, τὰς βουπρήστιας ἔμβαλλε ἐς οἶνον, κύμινον Αἰθιοπικὸν παρεμβαλὼν, καὶ σέσελι, καὶ ἄνισον, ἀναζέσαι, ἐς τὰς δέκα βουπρήστιας [4] ξυμμίξας ὀξύβαφον ἐλαιηρὸν, τῶν ἄλλων ἁπάντων ἴσον ἑκάστου· μῖξαι δὲ σμύρναν, λιβανωτὸν ὀλίγον· τούτου λαβὼν ὅσον δραχμίδα, προσθεῖναι, ὥσπερ ἐν τῷ πρόσθεν προσθήματι. [5] Ἕτερον· τοῦ μελανθίου τρίψας μέλιτι, δεύσας οἴνῳ, βάλανον ποιήσας πρὸς τῷ πτέρῳ προσθέσθω. [6] Ἕτερον· φιλίστιον τὸν αὐτὸν τρόπον ποιέων προστίθει. [7] Ἕτερον· τηλεφίου καρπὸν τὸν αὐτὸν τρόπον ποιέων προστίθει. [8] Ἕτερον· ἀνεμώνης φύλλα τρίψας, ἐνθεὶς ἐς ῥάκος, καὶ σμύρνης μικρὸν ξυμμίσγων, τὸν αὐτὸν τρόπον χρῆσθαι. [9] Ἄγει αἷμα· βάλανον Αἰγυπτίην τρίψας καὶ Σούσινον [ὅ ἐστι γῆ

[1] Ἄγει sine αἷμα C. – ἄγει θ, in marg. πρόσθετα δριμέα αἱμάγωγα. – συμμ. λιβανωτὸν καὶ σμύρναν Cθ. – ποίει CDGHIJK, Ald., Lind. – ποιεῖ θ. – ποιέει vulg. – κικίδα CDHIJK. – πρόμακρον Cθ. – μακρὸν vulg. – περιπτερίω θεὶς pro καὶ περιθεὶς C. – περιπτέρω θειρεσίω ἐλίξας pro καὶ π. εἰρίω θ. – ἐρίω C. – τε om. Cθ. – ὀθονίῳ λευκῷ (λεπτῷ Cθ) vulg. – [καὶ] βρέξας Lind. — [2] ἕτερον Cθ. – ἕτ. om. vulg. – βούπρηστις CJθ. – μεγάλη ἢν C (θ, ᾖ). – σύμμ. Cθ. – δὲ καὶ ταῦτα pro πρὸς τοῖς ῥ. Cθ. – προστιθέσθω Cθ. — [3] μαλακοτέροισιν Ald., Frob. – μαλθακωτέροισιν C. – μαλακωτέροις J. – βουπρήστιας θ. – βουπρήστηας C. – βουπρήστιδας vulg. – ἐμβάλλας (sic) εἰς οἶνον θ. – παρεμβάλλων CDHI, Frob., Lind. – ἄννησον vulg. – ἀνησσον (sic) θ. – ἄνησον K. – ἄνισον CDHJ. – ἀναζέσαι ἔσται δὲ καὶ (ἔτι δὲ καὶ K; ἐς τὰς δέκα Cθ; ἐς δέκα δὲ P′ ap. Mack in præf., probat Foes in not.; ἐς δὲ δέκα Lind.) βουπρήστιας (βουπρήστηας C) vulg. — [4] συμμ. Cθ. – ὀξόβαφον θ. – ἐληρὸν G. – τῶν [δὲ] ἄλλων Lind. – πάντων CIJ. – ἴσον om. C. – ὅσον pro ἴσον θ. – ἕκαστον C. – μίξας D. – [καὶ] λιβ. Lind. – ὀλίγον λιβ. J. – τοῦτο CJθ. – τούτων D. – ὅσον om. D. – δραγμίδας C. – δραχμίδας Ald. – δραγμίδα IJ. — [5] ἕτερον Cθ. – ἕτ. om. vulg. – τε μέλιτι K. – δεύσας τε ἐν (τε ἐν om. Cθ) οἴνῳ vulg. – προτέρῳ vulg. – Foes propose de lire πτέρῳ; cette conjecture me paraît excellente; προστιθέναι πρὸς τῷ πτέρῳ est une locution familière à l'auteur des livres des Maladies des Femmes. – προσθέτῳ vulg. – προσθέσθω CDFGHIKθ. – προσθέσθαι J. — [6] ἕτερον Cθ. – ἕτ. om. vulg. – Gal. Gl.: φιλίστιον τὸ αὐτὸ καὶ τοῦτο ἔοικεν εἶναι τῇ ἀπαρίνῃ καὶ φιλεταιρίῳ. — [7] ἕτερον Cθ. – ἕτ. om.

portant sur le cœur, causent de la suffocation, faites boire dans du vin la graine de l'agnus et de la pivoine. Pessaires âcres qui amènent le sang : mêlez cinq cantharides avec de l'encens et de la myrrhe, faites cela gros comme une noix de galle et allongé, entourez de laine, roulez dans un linge fin, humectez avec de l'huile d'Égypte blanche ou de l'huile de rose, et appliquez en pessaire. Autre : prenez un bupreste, entier s'il est petit, la moitié s'il est gros, mêlez-le aux substances susdites, et appliquez-le de la même façon. Si vous voulez que la préparation soit plus douce, jetez les buprestes dans du vin, ajoutez du cumin d'Éthiopie, du séséli et de l'anis, et faites bouillir ; pour dix buprestes, mêlez un oxybaphe d'huile : de tout le reste il y aura quantité égale ; vous mêlerez de la myrrhe et un peu d'encens ; vous prendrez de cette préparation une poignée, et vous l'appliquerez en pessaire, comme il a été dit plus haut. Autre : broyez du mélanthium (*la nielle*) dans du miel, mouillez avec du vin, faites un pessaire, et appliquez avec la plume. Autre : faites avec le philistium (*galium aparine,* L.) un pessaire de la même façon, et appliquez-le. Autre : faites avec la graine du téléphion (*cerinthe aspera,* L.) un pessaire de la même façon et appliquez-le. Autre : broyez les feuilles de l'anémone (*anemone coronaria,* L.), mettez dans un linge, ajoutez un peu de myrrhe, et servez-vous-en de la même façon. Ceci amène le sang : pilez un gland d'Égypte (*noix de ben*) avec du

vulg. – τηλ.... προστίθει om. J. – τιλεφίου HIK. – τὸν ἶσον (αὐτὸν Cθ) vulg. — [8] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἐνωης (sic) pro ἐνθεὶς C. – ἐνθ. τε (τε om. Cθ) vulg. – ἐς Cθ. – εἰς vulg. – ξυμμίσγειν (συμ. Cθ) vulg. – ξυμμίσγων D. – καὶ (καὶ om. D) τὸν vulg. – χρήσθω D. — [9] τριακοστὸν τρίτον J. – ἄγειν CFHIJθ. – αἷμα ἄγον K. – γε pro γῇ Ald. – ὅ ἐστι ἐν τῇ γῇ legit Foes in not. – La correction de Foes n'est pas heureuse, et la leçon reste incertaine ; on pourrait conjecturer τὸ ἐκ τῆς γῆς αἰγυπτίης ou bien ὅ ἐστιν ἔλαιον αἰγύπτιον. Mais je suis porté à penser que c'est une fausse explication passée de la marge dans le texte, quelque annotateur ayant cru que σούσινον était une localité en Égypte ; aussi ai-je mis ces mots entre crochets, et je ne les ai pas traduits. – εἰλλίξας εἰρίω C. – ἐλίξας GHIK. – Post προστίθει addit ἕτερον χολὴν καθαίρει· σικύης τὴν ἐντεριώνην λίην τρίψας καὶ σούσινον ὅ ἐστι γῆ αἰγυπτίη ὕδατι διεὶς εἰρίω ἑλίξας προστιθεῖ (sic) θ.

Αἰγυπτίη], ὕδατι διεὶς, εἰρίῳ ἑλίξας, προστίθει. Ἕτερον [1] χολὴν καθαῖρον· σικύης ἐντεριώνην λείην τρίψας, μέλιτι φυρήσας, βάλανον ποιέων, προστίθει. [2] Ἕτερον· κολοκυνθίδος ἀγρίης τὸ εἴσω λεῖον ποιήσας, μέλιτι φυρήσας, τὸν αὐτὸν τρόπον προστίθει. [3] Ἕτερον· ἐλατηρίου πόσιας τέσσαρας, ξυμμίσγων στέαρ χήνειον καὶ αἴγειον καὶ μίσυ, βάλανον ποιέων, προστίθει ἐν τῷ ῥάκει. [4] Ἕτερον· θλάσπιν λείην ποιέων, μέλιτι φυρέων, προστίθει. [5] Ἕτερον· σύκου παλαιοῦ τὸ πῖον ξύσας, καὶ ξυμμίξας πόσιας ἐλατηρίου δύο καὶ νίτρου ὅσον τὸ ἐλατήριον, μέλιτι δεύσας, προστίθει. [6] Ἕτερον· ἢν φλεγμήνῃ· νίτρον ἐρυθρὸν, σύκου τὸ [7] εἴσω τὸ πῖον, ἴσον ἑκάστου, τρίψας λεῖα, ὅσον κηκίδα ποιήσας, προστίθει. [8] Ἕτερον· κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐν ῥάκει προστίθει. [9] Ἕτερον· τὴν λευκὴν ῥίζαν τρίψας λείην, μέλι ἐπιχέας καὶ ἀναζέσας, βάλανον ποιήσας, προστίθει. [10] Ἕτερον· ὀπὸν σιλφίου καὶ σῦκον μίξας, βάλανον ποιέων, προστίθει. [11] Ἕτερον· σικύης σπέρμα τρίψας, τὸν αὐτὸν τρόπον προστίθει. [12] Ἕτερον· χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλάμινον, τρίψας τουτέων ὅσον κηκίδα, τοῦ κυκλαμίνου δὲ πλεῖστον, μέλιτι ξυμμίξας, προστίθει. [13] Ἕτερον· τοῦ κρομμύου τὴν κεφαλὴν καθαίρειν, ἐν ὕδατι τρίψας, ἐς ῥάκος ἀποδήσας, προσθεῖναι. [14] Ἕτερον· σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου, μέλιτι ταῦτα φυρήσας, ἐς

[1] Χ. κ. om. K. – καθαίρειν Cθ. – ἐντεριόνην H. – λίην θ. – λείην om. Lind. — [2] ἕτερον Cθ. – ἕτ. om. vulg. – κολοκυντίδος vulg. – κολοκυνθίδος Cθ. – κολοκιντίδος I. – κολ.... προστίθει om. G. – ἴσω θ. – αὖον pro λεῖον C, Vaticana exempl. ap. Foes in not. – φυρέων Cθ. – τὸν α. τρ. μέλ. φυρήσας J. — [3] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἐλ.... φυρέων προστίθει om. J. – πόσηας C. – συμμ. Cθ. – χήνιον θ. – καὶ ἡμισυβάλανον (ἡμισοβάλανον G) vulg. – καὶ μισυβάλανον θ. – καὶ μίσυ βάλανον C, Vaticana exempl. ap. Foes in not. — [4] ἕτερον Cθ. – ἕτ. om. vulg. – θαλπίην vulg. – θλασπίην θ. – Corn. et Foes conjecturent qu'il faut, au lieu de θαλπίην ou de θλασπίην, lire θλάσπιν λείην, ce qui, suggéré par le Ier livre des Maladies des Femmes, a été adopté par Linden. — [5] ἕτερον CHθ. – ἕτ. om. vulg. – συκοφυλλίου vulg. – σύκου φυλλίου C. – σύκου φιαλίου (sic) θ. – συκοῦ παλαιοῦ De Morb. Mul., I, Lind. – τὸ πῦον G (πύον Ald.; πίος Frob.). – καὶ om. Cθ. – συμμ. θ. – συμμίσγειν C. – πόσηας C. – ποσὶν (sic) pro πόσιας θ. – τρίτον pro νίτρον θ. — [6] ἕτερον Cθ. – ἕτ. om. vulg. – φλεγμαίνῃ CJ. – περὶ τῶν φλεγμαινουσῶν in marg. D. — [7] ἴσω θ. – τὸ om. Cθ. – πῦον G. – πίον Ald. – ὅσον.... τρίψας om. K. – κηκίδα Iθ, Lind. – κικίδα vulg. — [8] ἕτερον Cθ. – ἕτ. om. vulg. – πρόσθες Cθ. — [9] ἕτερον C. – ἕτ. om. vulg. – λίην θ. – λείην om. C. – Gal. Gl.: λευκὴν ῥίζαν, τὴν τοῦ δρακοντίου. — [10] ἕτερον C. – ἕτ. om. vulg. – καὶ σ. om. C. – σύκῳ pro καὶ σ. θ. – σύκον K. – συμμίξας C. – ποιήσας C. — [11] ἕτερον Cθ. – ἕτ. om. vulg. – συκῆς

susinum (*huile de lis*), ajoutez de l'eau, roulez dans de la laine, et appliquez en pessaire. Autre, qui purge la bile : broyez le dedans d'une courge, pétrissez avec du miel, faites un pessaire et appliquez. Autre : broyez le dedans de la coloquinte sauvage, pétrissez avec du miel, et appliquez de la même façon. Autre : prenez quatre potions d'élatérion, mêlez de la graisse d'oie et de chèvre et du misy (*sulfate de cuivre*), faites un pessaire et appliquez dans un linge. Autre : broyez du thlaspis (*capsella bursa pastoris*), pétrissez avec du miel et appliquez. Autre : raclez la partie grasse de vieilles figues, mêlez deux potions d'élatérion et autant de nitre, trempez avec du miel et appliquez. Autre, s'il y a phlegmasie : prenez du nitre rouge, la partie intérieure et grasse de la figue, de chaque autant, broyez, faites comme une noix de galle et appliquez. Autre : pilez des feuilles de cumin dans du vin et appliquez dans un linge. Autre : broyez la racine blanche (*le dracontion, dracunculus polyphyllus*), versez du miel, faites bouillir, formez un pessaire et appliquez. Autre : mêlez du suc de silphion et des figues, formez un pessaire et appliquez. Autre : pilez de la graine de courge et appliquez de la même façon. Autre : prenez de la bile de taureau, du nitre rouge, du nétopon (*huile d'amandes amères*), du cyclamen (il doit y avoir le plus de cyclamen), broyez-en gros comme une noix de galle, ajoutez du miel, formez un pessaire et appliquez. Autre : nettoyez la tête d'un porreau, pilez dans de l'eau, liez dans un linge et appliquez. Autre : prenez myrrhe, sel, cumin, bile de taureau, pétrissez avec du miel, mettez dans un linge et appliquez. Autre : prenez trente

vulg. – σικύης De Morb. Mul., I, Lind. – τὸν αὐτὸν τρ. om. DFGHIJK. – προστίθει D (H, ἔνθες) Q', Lind. – πρ. om. vulg. — [12] ἕτερον CHθ. – ἕτ. om. vulg. – κικίδα CDHJK. – πλείστου C. – συμμ. Jθ. – σμύξας (sic) C. – προσθῆναι C. – προσθεῖναι θ. — [13] ἕτερον θ. – ἕτ. om. vulg. – τοῦ.... προσθεῖναι om. (D, restit. al. manu) FGHIJ. – κοδρίου θ. – κομίου Ald. – κονδρίου Vaticana exempl. ap. Foes in not. – χονδρίου ἢ τὴν κεφ. καθαίρει C. – κυκλαμίνου dans le passage parallèle, Des Maladies des Femmes, I, Cornar. – προστίθει C. — [14] ἕτερον CHθ. – σμύραν (sic) J. – ἅλας CJ, Lind. – ἅλες vulg. – χολὴ H. – ταῦτα om. Cθ. – ἐς ῥάκος ἐνθετὰ (sic) C (ἐνθέντα θ). – ἐνθέντα (ἐνθέτα sic D) πρὸς ῥάκος vulg.

ῥάκος ἔνθετα προσθεῖναι. [1]Ἕτερον· κόκκους ἐκλέξας ὅσον τριήκοντα, καὶ τρίμματα μηδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι, καὶ τοῦ στρογγύλου ὃ καλεῖται, ταῦτα τὰ τρία τρίβων ἐν οἴνῳ παλαιῷ, [2]λεῖα διεὶς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων, περὶ τὸ εἰρίον περιθεὶς, προσθέσθω, καὶ διανιζέσθω οὔρῳ. [3]Ἕτερον· τιθυμάλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς, προστιθέναι. [4]Ἕτερον· σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον καθελίξας τοὺς δύο δακτύλους, ἐρίῳ πρόσθες. Ἕτερα [5]μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ αἷμα, ἐπιμήνιά τε ἄγονται, ἢν μὴ πουλυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσεται· ναρκίσσινον, κύμινον Αἰθιοπικὸν, λιβανωτὸν, ἀψίνθιον, κύπειρον, τῶν μὲν ἄλλων ἴσον ἑκάστου, τοῦ δὲ ναρκισσίνου μοίρας τέσσαρας, ἐπικτένιον ὠμόλινον ξυμμίξας, ταῦτα τρίψας, καὶ ποιήσας βάλανον, προστίθει. [6]Ἕτερον· κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου, καὶ ἄνθος χαλκοῦ ὅσον κύαμον τρίψας, καὶ μέλιτι δεύσας, καλῶς ποιήσας βάλανον, προστιθέναι. [7]Ἕτερον· γλήχωνα, σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν, μέλιτι φυρήσας, καὶ ποιήσας βάλανον, προστιθέναι. [8]Ἕτερα στρυφνά· ῥοῦν οἴνῳ μέλανι φυρήσας, προσθεῖναι. [9]Ἕτερον· κνίκον τὸν αὐτὸν τρόπον ποιήσας, προστίθει. [10]Ἕτερον· λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιέειν. [11]Ἕτερον· ῥοῦν μέλιτι μίξας, προσ-

[1] Ἕτερον CHθ. – ἕτ. om. vulg. – κόκκους ἐκλέξας (ἐκλέψας De Morb. Mul., II; ἐκλάψας Erot., p. 166; ἐκδέξασθαι C) οἷον (ὅσον C) τριάκοντα (τριήκ. DH) καὶ τρίμματα (τρίμμα C) μηδικοῦ (ἐνδικοῦ sic L) φαρμάκου τὸ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι (πέρι, D al. manu πέπερι, FGIK), καὶ τῶν στρογγύλων ἕτερα, ταῦτα τὰ τρία τρίβων (ἕτερα τρία ταῦτα τρίβων C) vulg. – Foes lit : κόκκους ἐκλέψας ὅσον τρεῖς ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ἕτερα τρία; il se règle sur le passage parallèle. – Lind. a : κόκκους ἐκλέψας ὅσον τριάκοντα, καὶ τρία ἰνδικοῦ φαρμάκου, τοῦ ἐκ τῶν λοβῶν, ὃ καλεῖται [μακρὸν] πέπερι, καὶ τῶν στρογγύλων ἕτερα [τρία]· ταῦτα τὰ τρία τρίβων; il se règle en partie sur Cornarius, en partie sur Dioscoride. – Le ms. θ a : κόκκους ἐκλέξας ὅσον τριάκοντα καὶ τριμαηδικου (sic) φαρμάκου, τὸ τῶν ὀφθαλμῶν, ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ὁ (sic) καλεῖται· τρία ταῦτα τρίβων. – Je n'ai pas osé faire de grands changements ni conformer ce passage-ci sur le passage parallèle des Mal. des Femmes, II; je me suis contenté de lire τοῦ τῶν au lieu de τὸ τῶν, de prendre τοῦ στρογγύλου, et de recevoir ὃ καλεῖται de θ, au lieu de ἕτερα. — [2] λία θ. – ἐρίῳ pro ἐλαίῳ CDHIJKθ, Ald. – ἀναφυρῶν C. – προσθείσθω CD. – προστιθέσθω θ. — [3] ἕτερον CHθ. – ἕτ. om. vulg. – τιθυμάλλου CJθ. – ἐνθεὶς ἐς ῥ. DQ', Lind. — [4] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἑξακακτυλον (sic) θ. – κατελλίξας C. – κατελίξας vulg. – καθελίξας D. – ἐρίῳ om. C. — [5] μαλθακὰ Cθ. – μαλθακτήρια DQ', Lind. – καὶ ἐπιμήνια ἄξει εἰ μὴ Cθ.

grains de poivre décortiqués, des raclures du médicament médique qui est destiné aux yeux et qu'on nomme poivre, et de celui qu'on nomme rond, pilez ces trois ingrédients dans du vin vieux qui sert à délayer, pétrissez avec de l'huile douce, mettez dans la laine, appliquez en pessaire et faites laver avec de l'urine. Autre : pétrissez du suc de tithymalle et du miel, mettez dans un linge et appliquez. Autre : prenez une racine de scille longue de six doigts, enveloppez-en deux doigts dans la laine et appliquez. Autres, qui sont émollients, qui purgent l'eau et le sang, amènent les règles si la suppression n'en est pas ancienne, et ramollissent l'orifice utérin : prenez huile de narcisse, cumin d'Éthiopie, encens, absinthe, cypirus (*cyperus rotundus*), de chaque parties égales, excepté de l'huile de narcisse, dont il y aura quatre parties, mêlez de l'étoupe de lin écru, broyez, faites un pessaire et appliquez. Autre : prenez du cyclamen gros comme un osselet, de la fleur de cuivre gros comme une fève, pilez, trempez avec du miel, faites un pessaire et appliquez. Autre : prenez du pouliot, de la myrrhe, de l'encens, de la bile de porc, pétrissez avec du miel, faites un pessaire, appliquez. Autres, astringents : pétrissez du sumac avec du vin noir et appliquez. Autre : faites de même avec le cnicus (*carthamus tinctorius*, L.) et appliquez. Autre : faites de même avec la sciure de lotus et appliquez. Autre : mêlez du sumac avec du miel et appliquez. Autres, émollients : prenez soufre,

-ἄγοντα Lind. - πολύχρονα vulg. - πολυχρόνια DIJK, Lind. - πουλυχρόνια H. - πολυχρόνιον sine ἢ C. - τε ἢ D. - εἰ pro ἢ θ. - μαλθάσσει Cθ. - ναρκίσσιον CG. - ναρκίσινον Ald. - κύπερον JK. - κύπαιρον Iθ. - ναρκισσίου C. - ἐπ' ὀθόνιον vulg. - Il faut lire ἐπικτένιον d'après le passage parallèle du premier livre des Maladies des Femmes. Gal. Gl. : ἐπικτένιον.... ἐπὶ δὲ τοῦ στυπείου ἢ τοῦ λίνου, τὸν τῷ κτενὶ προσιζάνοντα χνοῦν ἐν τῇ ἐργασίᾳ. - συμμ. Cθ. - ξυμμίξειν (sic) Ald. - ταύτας C. - προσθεῖναι Cθ. — [6] ἕτερον CHK. - ἕτ. vulg. - καλῶς om. Cθ. - ποι. βάλ. om. C. - προσθεῖναι Cθ. — [7] ἕτερον CHθ. - ἕτ. om. vulg. - γλίχωνα CHJ. - σμύραν (sic) C. - προσθεῖναι C. — [8] ἕτερα.... προσθεῖναι om. K. - ἕτ. στ. om. Ald. - στριφνὰ θ. — [9] ἕτερον CHθ. - ἕτ. om. vulg. - κνῆκον θ. — [10] ἕτερον Hθ. - ἕτ. om. vulg. - ἕτερον.... γένοιτο p. 378, l. 20, om. C. — [11] ἕτερον Hθ. - ἕτ. om. vulg. - ἕτερον μαλκακτικὸν (sic) J.

θεῖναι. [1] Ἕτερα μαλθακτήρια· θεῖον, στέαρ, ᾠοῦ λέκιθον, ἄλητον, μέλιτι φυρήσας, ταῦτα παραχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ πρόσθες. [2] Ἕτερον· χηνὸς ἔλαιον καὶ στέαρ μήλειον, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, ῥάκος κατατίλας λεπτὸν, προστίθει. [3] Ἕτερον· ἐλάφου μυελὸν καὶ στέαρ τήξας ἐν εἰρίῳ πρόσθες. [4] Ἕτερον· στέαρ οἴιος ἢ αἰγὸς καὶ ᾠοῦ τὸ λευκὸν ῥοδίνῳ μύρῳ ἀναφυρήσας, εἰρίῳ ἀνασπογγίσας, πρόσθες.

33. [5] Κλυσμοί· ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν, ἑψεῖν ἐν ὕδατι ὑποκαίων ἡσυχῇ, ἔπειτα ἀποχέας, ἔλαιόν τε ἐπιχέων, κλύζειν· μετακλύζειν δὲ σιδίοισι καὶ κηκίδι καὶ λωτοῦ πρίσμασιν, ἐν οἴνῳ ἑψῶν στρυφνῷ, ἀποχέων δὲ κλύζειν. [6] Ἕτερον· τρύγα κατακαίων ἐς ὕδωρ βάλλε, ἔπειτα τῷ ὕδατι κλύζειν, μετακλύζειν δὲ σιδίοις, μύρτοις, ῥοῦ φύλλοις, ἀφεψῶν ἐν οἴνῳ. [7] Ἕτερον· σχίνου φύλλα, ἐλελισφάκου, ὑπερικοῦ ἑψήσας ἐν οἴνῳ μέλανι· ἢν ἑλκωθῇ δέ τι τῶν μητρέων, βούτυρον, λιβανωτὸν, σμύρναν, ῥητίνην ὀλίγην, τουτέοισι χρὴ κλύζειν. [8] Ἕτερον· πράσα ἑψήσας ἐν ὕδατι, ἀποχέων δὲ ὕδωρ, οἴνῳ μίξας, κλύζε. Ἀκτῆς καρπὸν, [9] ἄνισον, λιβανωτὸν, σμύρναν, οἶνον, τῷ χυλῷ τουτέων κλύζειν. [10] Ἕτερον· κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ τῆς κράμβης ἕψε τὴν λινόζωστιν, παρεμβάλλων λίνου σπέρμα μικρόν· ἔπειτα ἀποχέας κλύζε. [11] Ἕτερον· σμύρνης ὅσον ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄνισον, λίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χηνὸς ἔλαιον, ὄξος λευκὸν, τὸ Αἰγύπτιον,

[1] Ἕτερον μαλακτικὸν D (J, sine μ.). – μαλθακτικὰ K. – θῖον θ. – λέκυθον, emend. al. manu D. – παραχλιένων θ. — [2] ἕτερον Kθ. – ἕτ. om. vulg. – μήλιον θ. – μῦρον D. – κατατίλλας D. – κατατίλας J. – κατατείλας vulg. – πρόσθες θ. — [3] ἕτερον K. – ἕτ. om. vulg. – ἕτερον.... πρόσθες om. θ. — [4] ἕτερον θ. – ἕτ. om. vulg. – ἕτερον.... πρόσθες om. (D, restit. al. manu) FGHIJK. – μύρῳ ἀναποιήσας εἰρίῳ ἀνασπ. εἰρίῳ πρόσθες θ. — [5] κλυσμὸς J. – ὀλίνθους H. – ὀλόνθους Iθ. – ἀποχέας [ὕδωρ] Lind. – τε om. θ. – χυκίδι vulg. – κικίδι DGHJ, Ald., Frob. – κηκίδι IKθ. – ἐν οἴ. μέλανι ἑ. στριφνῷ θ. — [6] ἕτερον Kθ. – ἕτ. om. vulg. – ἔμβαλλε θ. – βάλε DHIK. – μετακλύζειν.... οἴνῳ om. θ. — [7] ἕτερον Kθ. – ἕτ. om. vulg. – σκίλλου vulg. – σχίνου DFHIJKθ, Ald., Lind. – ἢν δὲ ἑλκ. DH. – τι om. FHIJK, Ald. – ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων, in marg. πρὸς ἕλκωσιν τοῦ στομίου τῆς μήτρης θ. — [8] (ἕτερον θ) γαστέρα (γαστρην sic θ; γαστὴρ HK; ἀστὴρ F; γ. om. Ald.) ἑψῶν ἐν ὕδατι, ἀποχέων δὲ (τε pro δὲ D) (τὸ Jθ, Ald.) ὕδωρ, οἴνῳ μίξας κλύζε (κλῦσαι Ald.)· (ἕτερον θ) πράσα ἑψήσας ἐν ὕδατι pro ἕτερον.... κλύζε DFHIJKθ, Ald. — [9] ἄνισον DHJ. – ἄννησον GI, Ald., Lind. – ἄνησον vulg. – χυλῷ DJ, Lind. – χυμῷ vulg. – τουτέων DHIJK. – τούτων vulg. — [10] ἕτερον Kθ. – ἕτ. om. vulg. – χυλῷ

graisse, jaune d'œuf, farine, pétrissez avec du miel, chauffez légèrement, recevez sur de la laine ce qui dégoutte, et appliquez. Autre : prenez de la graisse d'oie, de la graisse de mouton, de la cire blanche, de la résine, du parfum de rose, faites de la charpie fine et appliquez. Autre : prenez de la moelle et de la graisse de cerf, faites fondre et appliquez dans de la laine. Autre : prenez de la graisse de mouton ou de chèvre et du blanc d'œuf, pétrissez avec du parfum de rose, épongez avec de la laine et appliquez.

33. (*Injections.*) Injections : prenez les figues vertes d'hiver, faites-les cuire dans l'eau à un feu doux, transvasez, ajoutez de l'huile et injectez ; faites suivre l'injection par celle-ci : prenez écorces de grenades, noix de galle, sciure de lotus, faites cuire dans du vin astringent, transvasez et injectez. Autre : brûlez de la lie, jetez dans de l'eau, puis faites l'injection avec l'eau ; l'injection sera suivie de celle-ci : prenez écorces de grenades, baies de myrte, feuilles de sumac, faites cuire dans du vin et injectez. Autre : prenez feuilles de lentisque, de sauge, d'hypericum, faites cuire dans du vin noir ; mais, si quelque partie des matrices est ulcérée, prenez beurre, encens, myrrhe, un peu de résine : c'est avec cela qu'il faut faire l'injection. Autre : faites cuire des porreaux dans de l'eau, transvasez, mêlez du vin, injectez. Prenez graine de sureau, anis, encens, myrrhe, vin, faites l'injection avec la décoction de ces substances. Autre : faites cuire un chou dans de l'eau, et de la mercuriale dans cette eau de chou, ajoutez un peu de graine de lin, transvasez, injectez. Autre : prenez un oxybaphe (*oxybaphe*$=0^{\text{litre}}$,068) de myrrhe, de l'encens, du séséli, de l'anis, de la graine de lin, du nétopon (*huile d'amandes amères*), de la résine, du miel, de la graisse d'oie, du vinaigre blanc, du parfum égyptien, de chaque partie égale, pilez, mouillez avec deux cotyles de vin

D, Lind. – χυμῷ vulg. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. – παρεμβ. ponitur post μικρὸν J. – λινούσπερμα θ. — [11] ἕτερον Kθ. – ἕτ. om. vulg. – ὀξόβαφον θ. – ἄννησον vulg. – ἄννησσον θ. – ἄνησον K. – ἄνισον DHJ. – λινόσπερμα (sic) θ.

τουτέων ἑκάστου τὸ ἴσον τρίψας, [1]διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσίν· ἔπειτα χλιερῷ κλύζειν. [2]Ἕτερον· λινόζωστιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας, σμύρνης ὀξύβαφον, λιβανωτοῦ, νετώπου, ἴσον ἑκάστου μίξας, χλιερῷ κλύζειν. [3]Ἕτερον· ἐλελίσφακον καὶ ὑπερικὸν ἐν ὕδατι ἑψήσας, τῷ ὕδατι κλύζε. [4]Ἕτερον· ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον, ἐν οἴνῳ ἕψε, ἔπειτα τῷ οἴνῳ κλύζε. [5]Ἕτερον· γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον περιχέας, μεθ' ὕδατος κλύσον. [6]Ἕτερον· χηνὸς ἔλαιον, ῥητίνην ξυντήξας, κλύσον. [7]Ἕτερον· βούτυρον, κέδρινον ἔλαιον παραμίξας ὀλίγον, μέλιτι διατήξας ταῦτα, κλύσαι χλιερῷ. [8]Ἕτερον· κύπειρον, σχοῖνον, κάλαμον, ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται, σισύμβριον οἴνῳ ἑψῶν κλύζειν. [9]Ἕτερον· σελίνου καρπὸν, ἀνίσου, σεσέλιος σπέρμα, μελάνθιον οἴνῳ ἑψήσας, κλύζειν. [10]Ἕτερον· κέδρον κρητικὴν ἐν οἴνῳ ἑψήσας, κλύζε. [11]Ἕτερον· ἐχέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι, κλύζε. [12]Ἕτερον· ἀργυρίου ἄνθος ἐν οἴνῳ καὶ ὕδατι κλύσαι. [13]Ἕτερον· ἐλατήριον ὅσον δύο πόσιας ὕδατι διεὶς, κλύσαι. [14]Ἕτερον· κολοκυνθίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ γάλακτι ἑφθῷ ἀποβρέξας, ὅσον τέσσαρας κοτύλας, ἀπηθήσας, κλύζε. [15]Ἕτερον· σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κατύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας, κλύσαι. [16]Ἕτερον· τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας καὶ μέλι καὶ ἔλαιον, διεὶς ὕδατος κοτύλῃσι δυσὶ, κλύσαι. [17]Ἕτερον· ἐλλεβόρου ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ, ὅσον δύο κοτύλαις, κλύσαι χλιερῷ. [18]Ἕτερον· θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλῃσι, κλυσαι χλιερῷ. [19]Ἕτερον· σι-

[1] Διειέναι θ. – χλιερῷ θ. – χλιαρῷ H. – χλιαρῶς vulg. — [2] ἕτερον Kθ. – ἕτ. om. vulg. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. – ὀξόβαφον θ. – ἕκαστον DFGJ. – χλιερῷ θ. – χλιηρῶς D. – χλιηρῷ H. – χλιαρῶς vulg. — [3] ἕτερον Kθ. – ἕτ. om. vulg. – ὑπερικὸν ἐν ὕδατι κλύζε vulg. – ὑπερικὸν ἐν ὕδατι ἑψήσας τῷ ὕδατι κλύζε θ. — [4] ἕτερον Kθ. – ἕτ. om. vulg. – ἑτέρου pro ἑκατέρου θ. — [5] ἕτερον θ. – ἕτ. om. vulg. – γλίχ. HJ. – ὕδατι pro μεθ' ὕδ. θ. — [6] ἕτερον θ. – ἕτ. om. vulg. – τήξας (sic) θ. — [7] ἕτερον Hθ. – ἕτ. om. vulg. – ταῦτα κλύσαι χλιερῷ θ. – κλύσαι τούτοις χλιαρῶς (χλιηρῶς D; χλιηρῷ H) vulg. — [8] Ante ἕτ. addit ἀργυρίου ἄνθος ἐν οἴνω κλύσαι θ. – ἕτερον θ. – ἕτ. om. vulg. – κύπαιρον Iθ. – κύπερον HJK. – σχοίνον (sic) Ald., Frob. – σχῖνον DJK. – σχίνον H. – σχοίνου FG. – σμύρνα θ. – μίγν. om. G. – σύμβριον (sic) G, Ald. – σισίνιον ἐν οἴνω J. — [9] ἕτερον θ. – ἕτ. om. vulg. – ἕτ.... κλύζε om. K. – ἀνίσου DHJ. – καὶ ἀννήσσου θ. – ἀννήσου vulg. – ἐν οἴνω θ. — [10] ἕτερον θ. – ἕτ. om. vulg. – κρητικὸν J. – κέδρον.... ὕδατι κλύζε om. G. – κλύζειν D. — [11] ἕτερον θ. – ἕτ. om. vulg. – κλύσαι DFHIJKθ. — [12] ἕτερον H. – ἕτ. om. vulg. – ἕτ.... κλύσαι om. θ. – ἀργύρου D. – ὕδ. καὶ οἴνω J. — [13] ἕτερον θ. – ἕτ. om. vulg. –

blanc, injectez tiède. Autre : faites cuire de la mercuriale dans de l'eau, passez, ajoutez un oxybaphe de myrrhe, de l'encens et du nétopon, de chaque quantité égale, injectez tiède. Autre : faites cuire de la sauge et de l'hypéricon dans de l'eau, et injectez l'eau. Autre : prenez graine de sureau, baies de laurier, de chaque autant, faites cuire dans du vin, injectez le vin. Autre : faites cuire du pouliot dans de l'eau, ajoutez de l'huile, injectez avec l'eau. Autre : prenez de la graisse d'oie et de la résine, faites fondre et injectez. Autre : prenez du beurre, mêlez un peu d'huile de cèdre, faites fondre dans du miel, injectez tiède. Autre : prenez cypirus, jonc odorant, jonc, mêlez en quantité égale à la myrrhe, faites cuire du sisymbrion (*mentha aquatica*, d'après Fraas) dans du vin, et injectez. Autre : prenez graine de persil, d'anis et de séséli, mélanthion (*nielle*), faites cuire dans du vin, injectez. Autre : faites cuire du cèdre de Crète (*juniperus oxycedrus*, L.) dans du vin, et injectez. Autre : trempez dans de l'eau l'echetrosis (*bryonia cretica*, L.) et la myrrhe, et injectez. Autre : mettez de la fleur d'argent (*oxyde de plomb*) dans du vin et de l'eau, et injectez. Autre : prenez deux potions d'élatérion, délayez dans l'eau et injectez. Autre : trempez deux coloquintes sauvages dans quatre cotyles de vin ou de lait cuit, passez, injectez. Autre : prenez une pleine main du dedans de la courge, faites cuire dans quatre cotyles d'eau, ajoutez du miel et de l'huile, et injectez. Autre : prenez deux potions de racine de thapsie, du miel et de l'huile, délayez avec deux cotyles d'eau, injectez. Autre : prenez deux potions d'hellébore, délayez dans deux cotyles de vin doux et injectez tiède. Autre : prenez un oxybaphe de thlaspis

ἐλατηρίου Hθ. — [14] ἕτερον θ. - ἕτ. om. vulg. - κολοκυνθίδας θ. - κολοκυντίδας vulg. - κλύσαι FJKθ. — [15] ἕτερον θ. - ἕτ. om. vulg. - ἐντεριόνην H. - τέσσερσι θ. - καὶ om. Kθ. - καὶ ἔλ. om. J. — [16] ἕτερον θ. - ἕτ. om. vulg. - Post κλ. addit χλιερῷ θ. — [17] ἐλλεβόρου ὅσον δύο κοτύλας κλύσαι χλιαρῶς (χλιηρῶς DHJ) vulg. - ἕτερον· ἐλλεβόρου ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ, ὅσον δύο κοτύλαις κλύσαι χλιερῷ θ. — [18] ἕτερον θ. - ἕτ. om. vulg. - θλάσπιον vulg. - θλάσπιος θ, Lind. - ὀξόβαφον θ. - κοτύλας vulg. - κοτύλῃσι θ. - χλιαρῶς vulg. - χλιηρῶς DIK. - χλιηρῷ H. - χλιερῷ θ. — [19] ἕτερον θ. - ἕτ. om. vulg. - παλαιστὴ vulg. - παλαιστὴν DJKθ. - κοτύλαισι θ. - πέντε, μέλι ἔλαιον π. θ.

κύης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατος κοτύλῃσι πέντε, ἔλαιον παραμίξας, κλύσαι. [1]Ἕτερον· κόκκους κνιδίους ὅσον ἑξήκοντα, μέλι, ἔλαιον ὑποδιεὶς, κλύσαι. [2]Ἕτερον· ἢν φύσει φλεγματώδης ᾖ· κνεώρου ποσὸν τρίψας, διεῖναι μελικρήτου κοτύλῃ αἰγινητικῇ, τουτέῳ κλύσαι· ἢν δὲ χολώδης ᾖ, [3]τῆς δάφνης ὅσον πόσιν, τῆς ἐδώδεος ὅσον δραχμήν. [4]Ἕτερον· σκαμμωνίης ὅσον πόσιν τρίψας, διεῖναι μελικρήτῳ ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλῃ Ἀττικῇ. [5]Ἕτερον· δαφνοειδέος πόσιν κατὰ τὸν αὐτὸν λόγον, ἢν φύσει ᾖ χολώδης, τουτέῳ κλύσαι· ἢν δὲ φλεγματώδης, κόκκους ἐκλελεγμένους καὶ τοῦ τιθυμάλου ὀποῦ ὅσον πόσιν κλύζειν ὡσαύτως· [6]κνεώρου καὶ μηκωνίου, ὡσαύτως ἑκατέρου τουτέων χρῆσθαι χρή. [7]Κλύζε δὲ, ἢν δέῃ, κλυσμῷ πλέον ἢ δυσὶ κοτύλαις.

34. [8]Ὑποθυμιήσεις δέ ἐστι κεκομμένα ταῦτα· κηκίδα θυμιῆν. [9]Πρίσματα λωτοῦ ἐλαίης φύλλοις ξηροῖς κεκομμένοις μίξας καὶ φυρήσας ἐλαίῳ, ὑποθυμιῆν. [10]Ἄνθρακας ὑποβαλὼν, κριθῶν ἄχυρα νοτερὰ [11]ἐπιβάλλων, ὑποθυμιῆν. [12]Ἀπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα, τὴν στοιβὴν ὑποκαίων, πρίσματα κυπαρίσσου ὑποβάλλων, θυμιῆν. [13]Σκαμμωνίην, σμύρναν, λιβανωτὸν, μύρον περιχέας, ὑποθυμιῆν. Ἄσφαλτον, κριθῶν ἄχυρα [14]ξυμμίξας, ὑποθυμιῆν. [15]Θεῖον ἐλαίῳ φώκης ἀναδεύσας, ὑποθυμιῆν. [16]Μελίην, κυπαρίσσου πρίσματα, κυπείρου ῥίζαν, μύ-

[1] Ἕτερον θ. – ἕτ. vulg. – [εἰς] μέλι [ἢ εἰς] ἔλ. [σὺν ὕδατι] ὑπ. Lind. — [2] ἕτερον θ. – ἕτ. om. vulg. – φύσι θ. – τρίψασα θ. – κοτύλην D. – αἰγινῇ vulg. – αἰγινήτου DQ'. – αἰγινητοῦ Lind. – αἰγινηῇ (sic) J. – αἰγεινῇ I. – αἰγινητικῇ θ. — [3] τῆς om. θ. – ποσὶ (sic) θ. – ὀδώδεος DFHIJK, Lind. – ἐδώδης n'est pas dans les lexiques; et, d'autre part, ὀδώδης est déclaré douteux par les lexicographes. — [4] ἕτερον θ. – ἕτ. om. vulg. – ποσὶ (sic) θ. – μελικρήτου DHIθ. – ἀττικὴ vulg. – ἀττικῇ θ. — [5] ἕτερον θ. – ἕτ. om. vulg. – ποσὶ θ. – τιθυμάλλου Jθ. — [6] (δὲ J) καὶ κνεωρίου vulg. – καὶ εωρου (sic) θ. – Au lieu de καὶ κνεωρίου de vulg., il faut utiliser la leçon de θ, pour lire κνεώρου. – [δὲ] ἑκατέρου Lind. — [7] κλύζειν DFHKθ. – δὲ ἢ κλυσμῷ πλέον vulg. – δὲ κλυσμῷ μὴ πλέον Foes in not., Lind. – δὲ ἢν δε ηι (sic) κλυσμῶ πλέον θ. – C'est sur le passage parallèle du premier livre des Maladies des Femmes que Foes a fait la correction et ajouté μή. Ce passage est ainsi conçu : κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον· πάντα δὲ τὰ κλύσματα μὴ πλέω τουτέου. A la vérité, le livre de la Nature de la Femme n'est qu'une compilation faite avec le traité des Maladies des Femmes; cependant, comme ces compilations (voy. pour le Mochlique, Argument, t. IV, p. 335) offrent quelquefois des remaniements, je n'ai pas voulu effacer ici la différence, et j'ai pris la leçon de θ. — [8] ὑποθυμιαμάτων Q'. – ὑποθυμιήσεσι διακεκομμένα γλυκέα pro ὑπ.... ταῦτα FGHIKθ, Ald. – ὑποθυμιήματα κεκομμένα γλυκέα DJ. – κηκίδα Iθ,

(*capsella bursa pastoris*), ajoutez du miel, délayez dans deux cotyles d'eau, injectez tiède. Autre : prenez une poignée de courge, faites cuire dans cinq cotyles d'eau, ajoutez de l'huile, injectez. Autre : prenez soixante grains de Gnide, faites macérer dans du miel et de l'huile, injectez. Autre : si la femme est pituiteuse, pilez un peu de cnéoron (*daphne tartonraira*, L.), délayez dans une cotyle éginétique de mélicrat, injectez ; si elle est bilieuse, prenez du laurier une potion, du laurier qu'on mange une drachme. Autre : prenez une potion de scammonée, pilez, délayez avec du mélicrat ou avec l'eau de raisin sec, à la dose d'une cotyle attique. Autre : préparez de même une potion de daphnoïde (*daphne laureola*, L.), si la femme est naturellement bilieuse, et injectez ; si elle est pituiteuse, prenez des grains de Gnide choisis, une potion de suc de tithymalle, et injectez semblablement ; servez-vous semblablement, soit du cnéoron, soit du méconion (*peplis, euphorbia peplis*). L'injection, s'il le faut, sera de plus de deux cotyles.

34. (*Fumigations.*) Fumigations : elles se font avec ces substances-ci pilées. Fumigation avec la noix de galle. Prenez sciure de lotus, feuilles sèches d'olivier pilées, mêlez, pétrissez avec de l'huile, faites une fumigation. Allumez des charbons, mettez de la paille humide d'orge dessus, et faites une fumigation. Prenez un couvercle d'amphore d'huile, allumez-y de la stœbé (*poterium spinosum*, L.), jetez-y de la sciure de cyprès, et faites une fumigation. Prenez scammonée, myrrhe, encens, parfum, et faites une fumigation. Mêlez de l'asphalte avec de la paille d'orge et faites une fumigation. Mêlez du soufre avec

Lind. – κικίδα vulg. — [9] καὶ (καὶ om. θ) πρ. vulg. — [10] ἄνθρακας.... ὑποθυμιῆν om. (D, restit. al. manu) FGIJK. – ὑποβάλλων θ. – ὑποκαίων pro ὑπ. Lind. — [11] ἐπιβάλλων Lind. – ὑποβάλλων vulg. – ὑποθυμιῶν θ. — [12] καπνίσματα DHIJKQ'. – φθα παλαφορεως (sic) θ. – ἐπ' ἀμφ. ἐλ. τῷ ἐπιθέματι στοιβὴν ὑποκαίων legit Foes in not. – περίθεμα Lind. – πρίσματα FHIKθ, Lind. – πρίσματος vulg. – ἐπιβάλλων Lind. – ὑποβάλ. om. θ. — [13] σκαμωνίην θ. — [14] συμμ. θυμιῆν θ. — [15] ἔλαιον φώκης vulg. – θιον (sic) ἐλαίω φώκης θ. – Il faut prendre θεῖον. — [16] μέλι K. – κυπείρου D, Lind. – κυπέρου vulg. – κυπαίρου GIθ, Ald., Frob.

ρον ῥόδινον δεύσας, θυμιῆν. [1]Κάλαμον, κύπειρον, βρυωνίην, βρύον, σελίνου σπέρμασι ἄνισα μίξας ὁμοῦ καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. Ῥητίνην [2]αὔην ἐπὶ σποδὸν ἐπιβάλλων, ὑποθυμιῆν. [3]Κιννάμωμον, σμύρναν, κασίην, ἴσον ἑκάστου, κρόκον μίσγοντα. Σμύρναν, τὸ βρύον ἴσον τῷ κρόκῳ. Κάλαμον, [4]κνέωρον, κρόκον, ῥόδων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας, ξυμμίσγειν τῷ κρόκῳ καὶ στύρακα ἥμισυ τοῦ κρόκου, ταῦτα λεῖα ξυμμίξας καὶ ξηρήνας, μέλιτι ἐφθῷ δεύσας ὡς ἐλαχίστῳ, τουτέων δὲ πάντων [5]ξυμμεμιγμένων ἔστω ἡ θυμίησις, ὀδολὸς Ἀττικὸς σταθμός· ταῦτα θυμιῆν ἐπὶ βολβίτου· τὸ δὲ βόλβιτον [6]πλάσσειν, οἷον ὀξύβαφον ἐλαιηρόν· τὸν πυθμένα δὲ ἐχέτω λεπτόν· ἔστω δὲ ξηρόν· [7]τὸ πῦρ δὲ ἔστω κληματίνον, ἐφ' οὗ τὸ βόλβιτον κείσεται· ἐν τῷ ἐχίνῳ περιβάσα θυμιήσθω. [8]Χαλβάνην, ῥητίνην, μάνναν, μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. [9]Πανάκεος καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ Αἰγυπτίῳ λευκῷ θυμιῆν. [10]Κιννάμωμον καὶ νάρδον καὶ σμύρναν μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν. [11]Λευκοΐου τὸν καρπὸν, κέδρου πρίσματα, καὶ χαλβάνην μέλιτι ἀναφυρήσας, ὑποθυμιῆν. Αἰγὸς [12]σπυράθους καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας, ὑποθυμιῆν. Φώκης τῆς [13]πιτύης τὸ δέρμα κόψας λεῖον καὶ σπόγγον καὶ βρύα ὁμοῦ λεῖα μίξας, τῷ ἐλαίῳ τῆς φώκης περιποιήσας, ὑποθυμιῆν. [14]Αἰγὸς σπυράθους καὶ φώκης πλεύμονα καὶ κέδρου πρίσματα ὑποθυμιῆν. [15]Βόλβιτον, κέρατος πρίσματα, καὶ ἄσφαλτον ὑποθυμιῆν. [16]Ἀκάνθης Αἰγυπτίης καρπὸν καὶ

[1] Κάλαμον.... ἐπιβάλλων ὑποθυμιῆν om. K. – κύπερον vulg. – κύπαιρον GIθ, Ald., Frob. – κύπειρον D, Lind. – σπέρμα Lind. – σπέρματι GIJ. – ἄννησα vulg. – ἀνίσου DHJ. – ἀννήσσω θ. — [2] μάννην pro αὔην DHQ', Lind. – ἐπίσποδον θ. – ὑποβάλλων DH. — [3] κιννάμ. DGHIJKθ, Ald. – κινάμ. vulg. – κασσίην DHK. – τάμισον pro μίσγοντα θ. – κόκκω θ. — [4] κνεώρου, κρόκου vulg. – κνέωρον, κρόκον Foes in not., Lind. – συμμ. Jθ. – στύρακος K. – λία θ. – συμμ. Jθ. – ξηράνας Ald. – Ante μέλιτι addit τῶ θ. — [5] συμμ. θ. — [6] πλάσσων D. – ὀξόβαφον θ. – πυόμενα (sic) pro πυθ. θ. — [7] τὸ δὲ πῦρ θ. – κλιμάτινον IK, Ald. – ἐν τῷ (τῷ om. Lind.) ἐκείνῳ (ἔχειν ὧ DFGIJK; ἐχίνω Hθ) περιβάσα (περιβάσαι FG, Ald.; περιβᾶσα D; περιβᾶσαι J) vulg. — [8] καλϐ. (sic) θ. – μάννιαν vulg. – μάνναν FHIK. – μάννην Lind. – σμύρναν pro μάν. J. — [9] πανάκεως vulg. – πανάκιος DJ. – πανάκεος HIKθ, Lind. – παν.... ὑποθυμιῆν om. G. — [10] κιννά. DHIJKθ. – κινά. vulg. – νάρδιον F. – νάρδινον J. — [11] Ante λ. addit ἕτερον θ. – λευ.... ὑποθυμιῆν om., restit. al. manu D. – κέδρου om. FGHIJK, Ald. – Post κέ. addit καὶ κυπαρίσσου θ. – καλβάνην θ. – θυμιῆν FIJK. — [12] πυράθους FG. — [13] πητύης K. – λίον θ. – βρῦα D. – λία θ. – μίξχς KQ'. — [14] ἕτερον· αἰγ. θ. – φώκης τοῦ (τοῦ om.

de l'huile de veau marin et faites une fumigation. Prenez du frêne, de la sciure de cyprès, de la racine de cypirus, du parfum de rose, et faites une fumigation. Prenez le jonc, le cypirus, la bryone (*bryonia cretica*), le bryon (*zostera marina*), mêlez-y de l'anis et de la graine de persil, mouillez avec du parfum de rose, et faites une fumigation. Jetez de la résine sèche sur de la cendre chaude et faites une fumigation. Cinnamome, myrrhe et casia, de chaque autant, mêlez-y du safran. Myrrhe, bryon autant que de safran. Jonc, cnéoron, safran, feuilles rouges et suaves de roses; pilez, séchez, mêlez au safran la moitié de styrax; mêlez et séchez, mouillez avec très-peu de miel cuit; de tout cela, pour faire la fumigation, on prendra en poids une obole attique; la fumigation se fera sur la bouse de vache; la bouse sera arrangée en forme d'oxybaphe à huile; le fond en sera mince; cette bouse sera sèche; le feu sera de sarments de vigne sur lesquels la bouse sera posée; la femme, assise sur un grand chaudron, recevra la fumigation. Galbanum, résine, manne, mouillez avec du parfum de rose, faites la fumigation. Raclures de panaces et de cyprès, mouillez avec le parfum blanc d'Égypte, faites la fumigation. Cinnamome, nard, myrrhe, mouillez avec du parfum de rose, faites une fumigation. Graine de leucoïum (*viola odorata*), sciure de cèdre (*juniperus oxycedrus*), galbanum, pétrissez avec du miel, faites une fumigation. Crottes de chèvre, poil de lièvre, mouillez avec de l'huile de veau marin, faites une fumigation. Prenez la pellicule de la présure du veau marin, une éponge, du bryon (*zostera marina*), pilez, mêlez, pétrissez avec l'huile de veau marin, faites une fumigation. Crottes de chèvre, poumon de veau marin, sciure de cèdre (*juniperus oxycedrus*), faites une fumigation. Bouse de vache, raclures de corne, asphalte, faites une fumigation. Fruit de l'épine d'Égypte (*acacia vera*),

Lind.) πνεύμονος (πλ. Ιθ) (πνεύμονα sine τοῦ L) vulg. — [15] βόλ.... ὑποθυμιῆν om. DGK. – βόλιτον θ. – κέδρου (κέρως H; κέρατος θ, Vaticana exempl. ap. Foes, Ald.; κέρους I) vulg. — [16] ἕτερον· ἀκ. θ. – τὸν καρπὸν D. – ξηρῆς vulg. – ξηρὰ ex libro de Morb. Mul., II. – λία θ. – μύρῳ (κύρῳ Ald. τε (τε om. DH) vulg. – ὑπὸ βαλσάμῳ FGIJ, Ald.

κέδρου πρίσματα καὶ μυρσίνης φύλλα ξηρὰ, ταῦτα ποιήσας λεῖα, μύρῳ ὀποβαλσάμῳ δεύσας, ὑποθυμιῆν. [1] Ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑποθυμιῆν. Γίγαρτα κόψας [2] λεῖα, καὶ κεδρίδας, καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας, γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιῆν. [3] Πυρίησιν ἐς βόλβιτον κεκομμένον καὶ σεσησμένον, ὄξους τὸ ἥμισυ, ὀροβίου τὸ ἥμισυ ἐμβάλλων, πυριῆν βληχρῶς· ἐπὴν δὲ πυριήσῃς, [4] φάκιον πιπίσκειν, καὶ ἀπεμεῖν, καὶ ῥοφῆν δοῦναι ἄλητον, καὶ ἐπιπίνειν οἶνον· τῇ δ' ὑστεραίῃ [5] κόκκον δοῦναι κατάποτον, τῇ δὲ ἑτέρῃ διουρητικόν. Ἐρεβίνθους λευκοὺς δύο τρίψας, τῆς δὲ σταφίδος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος, ἐνεψεῖν, ἔπειτα ἀποχέας, ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ δοῦναι [6] πίνειν, καὶ τὸ λοιπὸν ἐλελίσφακον καὶ τοῦ λίνου σπέρμα τουτέοις ἀμφοτέροις μίξας καὶ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεχρημένῳ κοτύλῃσι [7] τέσσαρσιν. Ἐλαίου τρία ἡμικοτύλια, [8] ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην, ταῦτα ἑψεῖν ἐγχέας ἐς κρατήριον θερμὸν, πυριῆν ὀστράκοις θερμοῖς, ἐπὶ διφροῦ ἐπικαθίσας, περικαλύψας τε ἱματίοις. Τῆς ἀκτῆς φύλλα ὅσον χεῖρα [9] πλείην, καὶ τῆς μυρσίνης τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ, ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας, [10] ἔμβαλλε ἐς ῥάκος, ἔπειτα τουτέῳ πυριῆν, ὡς ἂν δύνηται θερμοτάτῳ ἀνέχεσθαι μάλιστα. Ὄξος, [11] ἔλαιον, ὕδωρ, μέλι κεράσας, ταῦτα ἀνάζεσον σφόδρα, ἔπειτα λαβὼν κύστιν χωρέουσαν ὡσεὶ χοέα, ἢ ἀσκίον ὡς λεπτοδερμότατον, ἐγχέας, καὶ περιελίξας ῥάκει εἰρίῳ, πυριῆν· ὁκόταν δὲ [12] διερὸν τὸ ῥάκος γένηται, ἕτερον περιελίσσειν. Τῆς πίτυος τὸν φλοιὸν καὶ τοῦ ῥοῦ τὰ φύλλα [13] ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρον ἕψε, ἔλαιον ἐπιχέας· ὁκόταν δὲ συνεψήσῃς, ἐμβαλὼν ἐς ῥάκος, πυρία. [14] Λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ

[1] Ἕτερον· ἀρ. θ. – ἄρ.... ὑποθυμιῆν om. G. — [2] λία θ. – κεδρίαν de Morb. Mul., II, Lind. – πιτυήνην J. — [3] πυριήσιες (ἕτερον pro πυρ. J), βόλβιτον vulg. – πυρίησιν ἐς βόλβιτον θ. – σεσημένον vulg. – σεσησμένον DK. – σεσεισμένον θ. – σεσημμένον J. – τοῦ (τοῦ om. θ) ὀροβ. vulg. – ὀρ. τὸ ἥμισυ om. Lind. — [4] φάκιον πίνειν (πιπίσκειν DHQ′) καὶ ῥοφεῖν (ῥοφῆν J) καὶ ἀπεμεῖν δοῦναι vulg. – φάκιον πιπίσκειν καὶ ἀπεμεῖν, καὶ ῥοφεῖν δοῦναι L, Cornar. ex lib. de Morb. Mul., Lind. — [5] κόκκου Lind. – δ' θ. — [6] πιεῖν θ. — [7] τέσσερσιν θ. — [8] αὐτῆς Ald. – ὅσον om. DFHIJKθ, Lind. – χειρὸς πλείης K. – ταῦτα.... πλείην om. G. – εἰς JK. – κρατῆρα DHQ′, Lind. – κρατηρίην θ. – καὶ θερμὸν FHIJKQ′, Lind. – Post διφροῦ addunt τὴν γυναῖκα DFHIJK, Lind. – καθίσας DJKQ′θ, Lind. – καθήσας H. – καθίζας (sic) Ald. – τε om. θ, Ald. — [9] πλέην θ. – ἐμβαλὼν θ. — [10] ἔμβαλε HJKθ. – ἐς Hθ. – εἰς vulg. – ὅσαν (sic)

sciure de cèdre, feuilles sèches de myrte, pilez, mouillez avec du parfum d'opobalsamum, faites une fumigation. Jetez des aromates dans un parfum et faites une fumigation. Pilez des pepins de raisin et des fruits du cèdre (*juniperus*), mêlez de la résine de pin, mouillez avec du vin cuit, et faites une fumigation. Prenez de la bouse de vache broyée et passée, ajoutez moitié de vinaigre, moitié de farine d'ers, et faites une fumigation légère; après la fumigation, faites prendre de la purée de lentilles, et revomir; ensuite donnez en potage de la farine, et, par-dessus, du vin; le lendemain, donnez le grain de Gnide, et le surlendemain un diurétique. Pilez deux parties de pois chiches blancs, un tiers de raisins secs, versez une moitié d'eau, faites cuire, transvasez, exposez au serein, et le lendemain faites boire; pour le reste, mêlez ensemble de la sauge, de la graine de lin et de la farine d'orge, et donnez deux fois par jour, dans du vin coupé, à la dose de quatre cotyles. Trois demi-cotyles d'huile, une poignée de feuilles de sureau, faites cuire, jetez dans un vase chaud, et faites la fumigation à l'aide de têts chauds, la femme étant assise sur un siége et enveloppée de couvertures. Une poignée de feuilles de sureau, autant de myrte, jetez dans l'eau, faites cuire, transvasez, jetez de la paille d'orge, faites cuire, mettez dans un linge, faites la fumigation aussi chaude qu'elle pourra être endurée. Vinaigre, huile, eau, miel, mêlez, faites bien bouillir, prenez une vessie de la contenance d'un conge ou une outre de peau très-mince, versez, entourez d'un chiffon de laine, et faites la fumigation; quand le chiffon est trempé, mettez un autre. Écorce de pin, feuilles de sumac, faites bien cuire, transvasez l'eau, faites cuire de la paille d'orge avec addition d'huile; quand tout est

Ald. – θερμοτάτω DIJKθ. – θερμότατον Lind. – θερμότητα vulg. — [11] ὕδωρ, ἔλ. J. – ταῦτα κεράσας θ. – χόεα GHIJK. – λεπτοδέρματον vulg. – λεπτοδερμότατον θ, Lind. – εἰρίῳ om. DFG (H, restit. al. manu) IJ. – εἰρέω θ. — [12] χλιαρὸν vulg. – διερὸν DE. – διαιρὸν HIKθ. – διαιρῶν J, Ald. – διαιρὼν, eadem manu διερὸν G. — [13] ἐμβαλὼν θ. – Post ἐμβ. addunt ἐς ὕδωρ Foes in not., Lind. – ἀπόχεον τὸ ὕδωρ θ. – ἀποχέαι D. – εἰς vulg. – ἐς DH. — [14] ἕτερον λ. H. – ἂν om. θ. – συν. θ. – ἐς DHJKθ. – εἰς vulg.

ἔλαιον, ἕψε, ἕως ἂν ξυνεψήσῃς· ἔπειτα ἐμβαλὼν ἐς ῥάκος, πυρία. [1]Ἀριώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας ὅσον χοίνικα, καὶ τῷ ὕδατι πίτυρα πύρινα ἑψήσας, τὸν αὐτὸν τρόπον πυρία. [2]Κηκίδα κόψας καὶ ῥάμνου τὸν φλοιὸν, ἀφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον τῷ ὕδατι καὶ παράμιξον ἔλαιον· ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικον, ἐνδήσας ἐς ῥάκος, πυρία. [3]Κράμβην καὶ σίσαρα ἀφεψῶν, τῷ χυμῷ ποίησον τὸν αὐτὸν τρόπον. [4]Κριθῶν ἄχυρα ξυνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων, πυρία. [5]Στρύχνον καὶ τῆς ἐλαίης τὰ φύλλα ἀφεψῶν, τὸν αὐτὸν ποίει τρόπον. [6]Καὶ ταῦτα δὴ, ἢν μὲν βούλῃ ὑγροῖσι χρῆσθαι, πυρία, ὡς γέγραπται· ἢν δὲ βούλῃ ξηροῖς, ἄρτους ποιέων καὶ ἐξόπτους καὶ ἡμιόπτους, πυρία· πυρία δὲ καὶ ὀστράκοις [7]ἐς ῥάκος ἐνειλίσσων, καὶ αὐτοῖς τοῖς ῥάκεσι θερμαίνων, καὶ τοῖς φακοῖς τοῖς ὀστρακίνοις, τὸ ὕδωρ ἐγχέων ζεστόν. Προστίθει δὲ [8]καὶ πρὸς τοὺς πόδας τῆς ἴρεως τὴν ῥίζαν, κόπτων καὶ ἀφεψῶν τὸν αὐτὸν τρόπον πυρία.

35. [9]Ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω [10]καὶ διὰ πλέονος χρόνου, καὶ κυΐσκεται [11]ἑκάστοτε διμήνου μικρῷ πλέον· ἐπειδὰν δὲ οὗτος ὁ χρόνος γένηται, καὶ διαφθείρει, καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πουλύ. Ταύτην δὲ χρὴ γαλακτοποτέειν, καὶ τῶν μηκώνων πίνειν, ἕως ἂν κινεῖσθαι ἄρχηται τὸ ἔμβρυον· ὡς ἐπιτοπουλὺ [12]δὲ πρὸ τουτέου διαφθείρεται καὶ ἐξαμβλοῦται, καὶ αἵματος ῥέουσιν αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. Τοῦτο δ' ἂν γνοίης ὅτι ὕδρωψ ἔνεστιν, ἐσα-

[1] Ἕτερον· ἀρ. H. – ἀφεψήσας θ. – πύρρινα (bis) GHK, Ald. – πίρρινα I. – πύρ. πίτ. J. – πυρία D. – πυρία om. vulg. — [2] κικίδα DHJK. – ἀφεψήσας HJ. – ἐφέψ. vulg. – διχοίνικα vulg. – διχοίνικον θ. – εἰς J. — [3] ἕτερον· κρ. θ. – σίσαρα θ. – πράσα vulg. – τὸν χυμὸν J. – ποίησον om. θ. – αὐτὸν Jθ. – ἶσον vulg. — [4] ἕτερον· κρ. θ. – ξυν. DH. – συν. vulg. — [5] ἕτερον· στρ. θ. – στρύχνου JQ', Lind. – τὸν αὐ. τρόπον Jθ. – ποίῃ Ald. – πυρία pro ποίει θ. — [6] καὶ om. θ. – δὲ θ. – βούλῃ om. θ. – βούλει (bis) H. – ὑγραῖσι vulg. – Il faut lire ou ὑγροῖσι, ou, comme Lind., ξηραῖσι au lieu de ξηροῖς. – χρ. om. (D, restit. al. manu) GHθ, Ald. – ξηροὺς DFGIJK, Ald. – ξηραῖσι Lind. — [7] ἐς DHIKθ. – εἰς vulg. – ἐνελίσσων θ. — [8] καὶ θ. – καὶ om. vulg. – εἴρεως θ. — [9] τριηκοστὸν ὄγδοον J. – περὶ τοῦ ὑγροῦ τοῦ ἐν ταῖς μήτραις G. – περὶ ὑδεριάσεως μήτρας· αἰτίας τε καὶ συμπτώματα καὶ θεράπεια θ. – τά τε ἐπιμ. θ. — [10] καὶ om. FGJ. – πλείονος θ. — [11] ἑκ. ἔτι δὴ (δὲ J) μὴν οὐ (διμήνου θ) μικρῷ vulg. – ἑκ. κατὰ δύο μῆνας ἢ μικρῷ Lind. – ἑκ. δίμηνον ἢ μικρῷ Foes in not. – πλεῖον θ. – διαφθείρει θ, Lind. – διαφθείρῃ vulg. – γαλακτοποτεῖν θ. – κινεῖσθαι DHIKθ,

cuit ensemble, mettez dans un linge et faites la fumigation. Sciure de lotus et de cyprès, versez de l'eau et de l'huile, faites bien cuire ensemble, puis jetez dans un linge et faites la fumigation. Jetez des aromates dans une chénice d'eau (*chenice* = 1^{litre},08), faites cuire, puis faites cuire dans cette eau du son de blé, et faites la fumigation de la même façon. Noix de galle, écorce de rhamnus, broyez, faites bien cuire, pétrissez avec cette eau du son de blé, mêlez de l'huile, puis faites de cela un pain de deux chénices à demi cuit, attachez dans un linge et faites la fumigation. Chou et sisarum (*sium sisarum*), faites cuire, employez cette eau de la même façon. Faites cuire de la paille d'orge, ajoutez de l'huile, attachez dans un linge et faites la fumigation. Strychnos (*solanum dulcamara*), feuilles d'olivier, faites cuire et employez de la même façon. Si vous voulez employer humides ces fumigations, faites comme il a été dit; si sèches, faites-en des pains très-cuits et à demi cuits, et faites la fumigation; faites-la encore avec des têts qu'on enveloppe de linges, avec les linges mêmes qu'on échauffe, et avec des vases en terre de forme lenticulaire, qu'on emplit d'eau bouillante. Mettez encore aux pieds la racine d'iris pilée, faites cuire et faites la fumigation de la même façon.

35. (*Eau dans la matrice ; avortement ; inflammation utérine ; traitement.*) Si de l'eau se forme dans les matrices, les règles sont moindres, plus mauvaises, et les époques s'en éloignent. Chaque fois que la femme devient enceinte, elle ne va guère au delà de deux mois; arrivée à ce terme, elle avorte, et il se produit en elle beaucoup d'eau. En ce cas, il faut mettre à l'usage du lait, et faire boire des pavots jusqu'à ce que le fœtus commence à se mouvoir. Mais, d'ordinaire, avant ce temps, l'enfant est expulsé par l'avortement, et du sang s'écoule des matrices. Ces accidents ne surviennent pas plus après de la fatigue qu'autrement. Vous reconnaîtrez qu'il y a de l'eau en

Lind. - κινῆσθαι vulg. - ἄρχηται DGHIJKθ, Ald., Lind. - ἄρχεται vulg. - ἐπὶ τὸ πολὺ θ. — [12] δὲ om. D. - πάσχει ποσόν τι μᾶλλον ἐκ τόκου Lind. - ἐσαφάσσων θ, Lind. - ἀφάσσων vulg.

φάσσων τῷ δακτύλῳ· ὄψει [1]γὰρ τὸ στόμα αὐτέων ἰσχνὸν καὶ ἀφανιζόμενον, περίπλειον ὑγρασίης. Ἢν δὲ αὐτῇ [2]μὴ κατ' ἀρχὰς ἀλλ' ἤδη κινούμενον διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ ἡ νείαιρα ἐπανοιδέει, καὶ ἀλγέει ἁπτομένη ὥσπερ ἕλκεος, καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἔχει ἐς αὐτά [3]τε τὰ αἰδοῖα καὶ τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν [4]ὀσφῦν ὀξεῖά τε καὶ σπερχνή. Ὁκόταν [5]ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν θερμῷ, καὶ ὅπῃ ἂν ἡ ὀδύνη λαμβάνῃ, τῶν χλιασμάτων πειρεύμενος ὅ τι μάλιστα προσδέχεται προστιθέναι, καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω· διαλιπὼν δὲ χρόνον ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι, [6]καὶ πυριήσας, προστιθέναι· τῆς κυκλαμίνου ἀποδήσας ὅσον περ, ἔνθες ἐς ῥάκος, καὶ τῷ μέλιτι δεύων, προστιθέναι πρὸς τὸ στόμα τῶν [7]ὑστερέων· καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως, ἐλάσσω [8]δὲ χρόνον καὶ διὰ πλείονος τοῦτο ὅσῳ μᾶλλον δάκνει καὶ ἐξελκοῖ· καὶ μήλην ποιησάμενος κασσιτερίνην [9]καθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως· καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν προσδέχηται πιπίσκειν· καὶ [10]ξυγκοιμάσθω τῷ ἀνδρὶ, ὡς μάλιστα τῶν καιρῶν παριόντων· ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ καὶ τέκῃ, ὑπεκκαθαίρεται, καὶ τὰ [11]πρόσθεν ὑπεόντα ξὺν αὐτῷ, καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο.

36. Ἢν [12]σκιῤῥωθέωσιν αἱ μῆτραι, τό τε στόμα τρηχὺ γίνεται, καὶ τὰ ἐμμήνια κρύπτεται· ὁκόταν [13]δὲ προφανῇ, ὥσπερ ψάμμος, καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου· ἢν δὲ καὶ ἐσαφάσσῃς τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. Ὁκόταν ὧδε [14]ἔχῃ,

[1] Γὰρ om. θ. – περιπλεῖον vulg. – περὶ πλεῖον GI, Lind. — [2] μὰ pro μὴ θ. – κενούμενον vulg. – κινούμενον D, Lind. – μὴ (μὴ om. Cornar. Foes in not., Lind.) διαφθ. vulg. – νιαιρὰ θ. – νείερα H. – νειαιρὴ Lind. – ὀδύνην DGHI, Ald. — [3] τε om. DH. – αὐτὰ τά τε IKθ. – νειαίρην D. – νείαιραν vulg. – νείεραν H. – νειαιρὴν Lind. – νιαιρὰν θ. — [4] ιξυν (sic) θ. – ὀξείά τε I. — [5] δὲ ὧδε DIK. – ἡ θ. – ἡ om. vulg. – πειρεύμενος θ. – πειρώμενος vulg. – προσδέχηται vulg. – προσδέχεται θ. — [6] Ante καὶ addunt κλύσας Foes in not. ex libro I de Morb. Mul., Lind. – τῆς.... προστιθέναι om. K. – ἀποδήσας om. J. — [7] μητρέων θ. – προσθεῖναι θ. — [8] δει (sic) pro δὲ θ. – δάκνειν θ. — [9] ἐγκαθιέναι θ. – Post ἂν addit μάλιστα θ. — [10] συγκ. θ. – παρεόντων Lind. – συλλαβεῖν θ. – καὶ τέκῃ om. θ. – ὑπεκκαθαίρεται θ, Ald., Lind. – ὑπερκαθ. GHIJK. – ὑποκαθ. vulg. — [11] πρόσθεν ὑπ' αὐτῷ ξὺν αὐτῷ (ὑπεόντα ξὺν αὐτοῖς Lind.; ὑπεοντασυναυτῶ sic θ) vulg. – γενοίατο θ. — [12] σκιῤῥωθῶσιν vulg. – σκιρρεωθῶσιν C. – σκιρρωθέωσιν θ. – περὶ σκιρας (sic) μήτρας αἰτιῶν καὶ συμπτωμά-

touchant avec le doigt; car vous trouverez l'orifice mince et effacé à cause de l'humidité qui le remplit. Si l'avortement survient, non de bonne heure, mais le fœtus ayant déjà commencé à se mouvoir, et que la femme éprouve de la suffocation, le bas-ventre se tuméfie, il est douloureux au toucher comme s'il y avait une plaie; fièvre; grincement de dents; douleur aiguë et intense aux parties génitales, au bas-ventre, aux hanches, aux flancs et aux lombes. Les choses étant ainsi, on lavera la malade avec de l'eau chaude, et, là où la douleur est ressentie, on fera des applications chaudes, essayant celles qui sont le mieux supportées; on fera boire un médicament qui évacue par le bas; après un intervalle tel que vous le jugerez convenable, ayant administré une fumigation, vous appliquerez un pessaire : prenez un peu de cyclamen, liez, mettez dans un linge, mouillez avec du miel et appliquez à l'orifice des matrices. Raclez du cyprès, mouillez avec de l'eau et appliquez semblablement; mais vous laisserez ce pessaire moins longtemps et vous l'appliquerez à des intervalles plus éloignés, attendu qu'il mord davantage et cause des exulcérations. Vous aurez une sonde d'étain que vous introduirez, et le doigt semblablement. Vous essayerez quels sont les breuvages qui passent le mieux à la malade. Elle dormira avec son mari, surtout aux époques favorables; car, si elle reçoit la semence, devient enceinte et accouche, elle se purge, et avec cette purgation s'en vont les matières qui séjournaient auparavant : c'est surtout de cette façon qu'elle recouvrera la santé.

36. (*Orifice utérin devenu raboteux; dilatation avec la sonde.*) Si les matrices deviennent squirrheuses, l'orifice est raboteux; les règles disparaissent, et, quand elles se montrent, c'est comme du sable, et pendant ce temps il n'y a pas de concep-

των καὶ θεράπεια in marg. θ. – ἐπιμήνια C. – καταμήνια D. – κρήπτεται Ald. — [13] δὲ καὶ θ. – ἄμμος θ. – συμμίσγεται pro οὐ γίν. C, Vaticana exempl. ap. Foes in not. – ἐσαφάσεις C. – ἀφάσσης θ. – τῶ δακτύλω J, Lind. – τὸν δάκτυλον vulg. – τῆς μήτρας C (θ, μήτρης). — [14] ἔψηται pro ἔχῃ τῆς C. – ἄλας L. – σύκω C. – σύκον L. – ὁμοῦ Cθ. – καθαίρεσθαι pro καθ. C. – καθαίρουσιν θ.

τῆς κυκλαμίνου χρὴ τρίψαντα καὶ ἁλὸς καὶ σύκου ὠμοῦ μίσγοντα καὶ ἀναποιοῦντα μέλιτι προστιθέναι, καὶ πυριήσαντα κλύσαι τοῖσι καθαρτηρίοισιν· ἐσθιέτω δὲ τὴν [1]λινόζωστιν καὶ κράμβας ἑφθὰς, καὶ τὸν χυλὸν ῥοφεέτω, καὶ θερμῷ λουέσθω.

37. [2]Ἢν σκιῤῥωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται, καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κυΐσκεται. [3]Ἕως ἂν οὕτως ἔχῃ, ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα τρηχὺ, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ πυρετὸς αὐτὴν λαμβάνει καὶ βρυγμὸς, καὶ ὀδύνη [4]ἔχει τὴν νειαίρην γαστέρα καὶ τὸν κενεῶνα καὶ τὰς ἰξύας. Πάσχει δὲ ταῦτα, ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον· ἔστι δ' ᾗσι καὶ ἐκ τόκου γίνεται· πολλάκις δὲ καὶ ἄλλως. [5]Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν πολλῷ καὶ θερμῷ, [6]καὶ πυριῆν· ὅταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς ἀναστομοῦ, καὶ ἀνεύρυνε τὸ στόμα αὐτέων, καὶ [7]τῷ δακτύλῳ ὡσαύτως, καὶ προστιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν, καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, [8]ὥσπερ καὶ πρότερον.

38. [9]Ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἔχει καὶ ὀδύνη, ὑπὸ τὸ πλευρὸν οἷον σφαῖρα, καὶ ἁπτομένη πονέει ὥσπερ ἕλκεος, καὶ καταφθίνει, καὶ δοκέει περιπλευμονίη εἶναι, καὶ σπᾶται, [10]καὶ κυφὴ γίνεται, καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, [11]ἐνίῃσι δὲ προφανέντα οἴχεται, τὰ δὲ γενόμενα ἀσθενέα τε καὶ ὀλίγα [12]ἢ κακίω [13]ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. Ὅταν [14]ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον, καὶ [15]λούειν

[1] Λινόζωστιν θ. – λινώζωστιν CD. – λινοζῶστιν vulg. – κράμμα (sic) pro κράμβας C. – ῥοφεέτω D. – ῥοφείτω vulg. — [2] ἢν μῆτραι σκιρεωθῶσιν C. – σκιρωθέωσιν θ. – αὐτῶν C. – συμμ. Cθ. — [3] ὅταν (ὁκόταν θ) ὧδε vulg. – ἕως ἂν οὕτως C. – καὶ ἢν θ. – ἐσαφάσῃ C. – ἐσαφάσῃς D. – ἐσφάσσῃς Ald. – ἐσσίησι (sic) C. — [4] ἔχει ΙΚθ, Ald., Lind. – ἴσχει C. – ἔχῃ vulg. – νειαιρὴν Lind. – νιαιρὰν θ. – νειαίρην C. – νείαιραν vulg. – τοὺς κενεῶνας C. – τὴν ἴξιν C (θ, ἰξύν). – πάσχῃ FG, Ald. – τὸ ἔμβρ. om. C. – ἔστι.... ἔχῃ om. K. – δὲ pro δ' Cθ. – γίν. om. C. — [5] ὅταν οὕτως C. – ταύτην DFGHIJK, Ald. — [6] καὶ om. Dθ. – ὁκόταν θ. – νεοπύρητος CGIK, Ald., Frob. – ᾖ ponitur ante ἢ DH. – ἀνευρυναι (sic) θ. — [7] τῷ om. C. – προτέρας C. – τῶν om. C. – ποτίμων K. – ποτιμάτων IK. — [8] ὡς C. – καὶ om. C. — [9] περὶ τῶν ἐν πλευρᾶ προσπιπτουσῶν ὑστερῶν, αἰτιῶν τε καὶ συμπτωμάτων, καὶ θεράπεια in marg. θ. – αἱ μῆτραι ponitur post προσπ. C. – ἴσχει CGIKθ, Ald., Lind. – ὀδῦναι (sic) C. – τὸ om. CG. – Ante οἷον addit [καὶ προσίσταται σκληρὴ] Lind. – ἀντιπονεῖ pro ἁπτ. πον. C. – πονεῖ θ. – ἕλκεος Cθ. – ἕλκος vulg. – καταφθείνει θ. – περιπν. DHJK. – περιπνευμονικὴν C. — [10] ἢν pro καὶ θ. – φυγὴ (φ. om. C;

tion. Si vous touchez avec le doigt, vous trouverez raboteux l'orifice des matrices. Les choses étant ainsi, pilez du cyclamen, mêlez-y du sel et des figues crues, pétrissez avec du miel et mettez en pessaire. Après une fumigation, injectez ce qui mondifie. La femme mangera la mercuriale et les choux cuits, elle en boira l'eau et se lavera à l'eau chaude.

37. (*Orifice utérin devenu raboteux à la suite de la mort du fœtus dans la matrice ; introduction de la sonde dans l'utérus.*) Si les matrices deviennent squirrheuses, les règles disparaissent, l'orifice se ferme, et la femme ne devient pas enceinte. Tant qu'il en est ainsi, si vous touchez avec le doigt, vous trouverez l'orifice raboteux, et le doigt n'y est pas admis ; fièvre ; grincement de dents ; douleur au bas-ventre, aux flancs et aux hanches. La femme éprouve ces accidents si le fœtus, ayant cessé de vivre, se corrompt en elle ; il en est chez qui cela vient à la suite de l'accouchement ; souvent aussi d'autre façon. Les choses étant ainsi, on lavera la femme avec force eau chaude, on lui fera prendre un bain de vapeur. Immédiatement après le bain d'eau ou de vapeur, introduisez la sonde, ouvrez l'orifice utérin, dilatez-le ; et avec le doigt semblablement ; on mettra en pessaire ce qui a été dit pour le cas précédent ; on administrera les mêmes breuvages, et on traitera de la même façon.

38. (*Déplacement de la matrice vers la hanche.*) Si les matrices se portent vers les côtes, il y a toux, douleur, et comme une boule au côté ; la femme y souffre comme si elle avait une plaie, elle dépérit ; on dirait une péripneumonie, elle a des spasmes ; elle devient bossue ; les règles sont complétement supprimées ; chez quelques femmes cependant, elles apparaissent pour passer aussitôt, et ce qui en paraît est faible et peu

φύγη θ) vulg. - κυφὴ de Morb. Mul., II, L, Cornar., Foes in not., Lind. - γίγν. C. - ἐμμήνια FGIJKθ. - ἐμμήνεια Ald. — [11] Ante ἐν. addit καὶ C. - ἐνίοισι J. - ἐν τῇσι pro ἐν. θ. - τότε (τὰ pro τότε C) δὲ γεν. vulg. — [12] καὶ pro ἢ Cθ. — [13] ἢ om. C. - πρώτου C. - προτοῦ IJK. - ἢ καὶ προτοῦ ἢ γονὴ G (Ald., πρὸ τοῦ). - οὐ γίγνεται (θ, γίν.). - οὐκ om. DFGIJ, Ald. - γίνεται DFGIJ, Ald. - τούτου C. — [14] οὕτως C. - καὶ τὸ pro κάτω C. — [15] πίσας (λούειν C ; λούσας Lθ, Lind.) αὐτὴν vulg. - τῷ pro καὶ DFGHIJKQ'.

αὐτὴν πολλῷ καὶ θερμῷ, [1]καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται, προσίσχειν, καὶ προστιθέναι, ὑφ' ὧν καθαίρεται αἷμα· καὶ λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας καὶ τῶν [2] μηκώνων τῶν λευκῶν σὺν ἀλφίτοις λεπτοῖς, καὶ τυρὸν αἴγειον, περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, [3]ταῦτα μίσγειν, τοῦ τυροῦ δύο, ἓν δὲ τῶν ἄλλων, [4]ἓν δὲ τῶν ἀλφίτων ἑώλων ἀνάλτων, νήστει δίδου πίνειν ἐν οἴνῳ· ἑσπέρης δὲ κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου· καὶ τῶν πομάτων ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν· καὶ [5] πυριῆν πυκνὰ, τῷ θερμῷ δὲ αἰονᾷν· [6]καὶ τῇ κηρωτῇ ἡσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ, καὶ ἀναδεῖν [7] τὸ πλευρὸν ταινίῃ πλατείῃ· καὶ γαλακτοποτεῖν, τὸ βόειον γάλα ὅτι πλεῖστον, [8] ἐφ' ἡμέρας τεσσαράκοντα· σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισιν. Ἡ δὲ νοῦσος [9]σπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι διεκφυγγάνουσιν αὐτὴν καὶ μελεδαινόμεναι.

39. Ἢν τὸ στόμα [10]ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὥσπερ ἐρινεὸν, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει σκληρὸν καὶ [11]ξυνεστραμμένον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, [12]καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται, καὶ τὴν γονὴν οὐκ ἐνδέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα καὶ τὴν ὀσφῦν καὶ τὸν κενεῶνα· [13]ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται καὶ πνίγει. Ὁκόταν [14]οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ λούειν πολλῷ καὶ θερμῷ, καὶ προστιθέναι ἅπερ μαλθάσσει τὸ στόμα, καὶ τὴν μήλην [15]καθιέναι, καὶ ἀναστομοῦν, καὶ τὸν δάκτυλον

[1] Καὶ om. Lind. – τῶν om. C. – προσθεῖναι Cθ. – τὸ αἷμα L, Lind. – φώσας C. – σείσας θ. — [2] μήκων D. – λεπτῶν CH. – λ. καὶ ἐλελίσφακον σὺν Cornar. ex libro II de Morb. Mul., Lind. – καὶ (καὶ om. CHθ) σὺν vulg. – περιξύσας C, Lind. – ῥῦπον Ald., Frob., Lind. — [3] ταύτην C. – μίσγοντα C. – Ante τοῦ addit μὲν C. — [4] τῶν δὲ (ἓν δὲ τῶν pro τῶν δὲ C; καὶ τῶν pro τῶν δὲ L, Lind.) ἀλφίτων vulg. – ἑώλω ἢ pro ἑώλων C. – δίδου νήστει J (θ, νήστι). – [καὶ] νήστει Lind. – νῆστι C. – πιεῖν C. – παχὺν CLθ, Lind. – παχὺ vulg. – μέλιτι C. – ποτημάτων C. – προσδέχεται C. — [5] πιεῖν pro πυριῆν C, Vaticana exempl. ap. Foes in not. – πυκινὰ θ. – καὶ τῷ C. – δὲ αἰονᾷν om. θ. – εἶναι pro αἰ. C. – αἰωνᾶν GH, Ald., Frob. — [6] καὶ Cθ. – καὶ om. vulg. – τῇ [δὲ] Lind. – ἀποθέειν θ. – ἄποθέειν (sic) DH. — [7] τῷ πλευρῷ C. – ὡς pro ὅτι Cθ. — [8] ἐπὶ C. – ὡς pro ἐφ' θ. – τεσσεράκοντα θ. – σίτων C. – χρῆσθαι K. – μαλακωτάτοισι C. — [9] ἐπέρχνη (sic) C. – καὶ ὀλίγαι καὶ (καὶ om. DK) μελεδαινόμεναι διαφεύγουσιν αὐτὴν vulg. – καὶ ὀλίγαι φεύγουσιν μελεδενόμεναι C. – καὶ ὀλίγαι διεκφυγγάνουσιν αὐτὴν μελαιδόμεναι (sic) θ. — [10] σ. Cθ. – περὶ μύσεως τοῦ στομίου, συμπτωμάτων τε καὶ θεράπεια in marg. θ. – γίγν. C. – ἔρινον C. – ἐρινεὸς J. – ἐσαφάσσῃ FGJK, Ald. – ἐσαφάσῃς C. — [11] σ. Jθ. –

abondant, ou de plus mauvaise nature qu'auparavant. Durant ce temps, il n'y a pas de conception. Les choses étant ainsi, on évacuera par le bas avec l'élatérion, on lavera la femme avec beaucoup d'eau chaude, on fera les applications chaudes qu'elle supporte le mieux, et on mettra les pessaires qui provoquent le sang. Prenez de la graine de lin grillée, pilée et criblée, des pavots blancs, de la polenta légère, du fromage de chèvre dont on a ôté l'ordure et la saumure, mêlez deux parties de fromage, une des autres et une de polenta vieille et sans sel, et faites boire à jeun dans du vin; le soir, donnez un cycéon épais avec addition de miel. La femme prendra les boissons qui lui conviennent le mieux; elle recevra de fréquentes fumigations, et fera des affusions d'eau chaude. En amollissant doucement avec le cérat, on éloignera des côtés la matrice; on passera autour des côtés un bandage large. La femme sera mise à l'usage du lait de vache, en aussi grande quantité que possible, pendant quarante jours. Elle usera des aliments les plus émollients. La maladie est violente et dangereuse, et peu, même traitées, en réchappent.

39. (*Orifice fermé.*) Si l'orifice est fermé, il devient résistant comme une figue sauvage; et, si vous le touchez avec le doigt, vous le trouvez dur et contracté; il n'admet pas le doigt; les règles ne paraissent pas, et la semence n'est pas reçue pendant tout ce temps. Il y a douleur au bas-ventre, aux lombes et au flanc. Quelquefois la douleur se porte en haut et cause de la suffocation. Les choses étant ainsi, on administrera un médicament qui évacue par le bas, on lavera avec beaucoup d'eau chaude; on mettra les pessaires qui amollissent l'orifice; on introduira la sonde ainsi que le doigt, et on ouvrira; on fera des affusions. Quand l'orifice est amolli, on met les pessaires qui provoquent

συνεστραμένον C. – συνεσταλμένον K. — [12] καὶ om. C. – ἀποκέκρυφε C. – οὐ δέχεται vulg. – οὐκ ἐνδέχεται θ. – τούτου C. – ἴσχει C. – νιαιρὰν θ. – νειαίραν C. – νειαιρὴν Lind. — [13] ἔστι δὲ καὶ ὅτε καὶ C. – ἔστιν οὖν ὅτε καὶ J. – πνεῖ pro πνίγει C. — [14] οὖν om. C. – οὕτως C. – χρὴ πίσαι Cθ. – τῷ θερμῷ πολλῷ C. – ὅσα Cθ. – μαλάσσει C. – μαλθάσσῃ K. — [15] καυθιέναι (sic) θ. – κατέονεν (sic) pro καὶ αἰο. C. – αἰονᾶν D. – αἰονεῖν J. – αἰωνῆν Frob. – λιονῆν (sic) θ.

ὡσαύτως, καὶ αἰονῆν. [1] Ὁκόταν οὖν μαλθακὸν ᾖ, προστιθέναι ὁκόσα καθαίρει αἷμα· καὶ τῶν ποτημάτων διδόναι πειρώμενον ὅ τι ἂν προσδέχηται· καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω.

40. [2] Ἢν παραλοξαίνωνται αἱ μῆτραι, καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται, καὶ τὰ ἐπιμήνια [3] αὐτῇ τοτὲ μὲν κρύπτεται, τοτὲ δὲ προφανέντα οἴχεται, καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω [4] ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη [5] ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τὴν ὀσφῦν καὶ τὸ ἰσχίον, καὶ ἐφέλκει αὐτό. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον, καὶ λούειν θερμῷ, καὶ πυριῆν· [6] ὁκόταν δὲ νεοπυρίητος ᾖ νεόλουτος ᾖ, τὸν δάκτυλον [7] ἐσαφάσσουσα, ἀπορθούτω καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου πειρεύμενος ὅ τι ἂν μάλιστα προσδέχηται· [8] σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω ἑφθὰ καὶ ὠμὰ, καὶ τῷ ἀνδρὶ [9] ξυγκοιμάσθω, καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω· τὸ δὲ ἕτερον πυριήσθω. Ἡ δὲ νοῦσος δυσαπάλλακτος.

41. Ἢν [10] ἀναπρησθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τοῦ προσώπου, [11] ἡ χροιὴ δὲ ἀειδὴς γίνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ [12] ἀσθενέει, καὶ ἀλύει, καὶ ὁκόταν ἀναστῇ ἢ προέλθῃ, ὀρθόπνοια αὐτὴν ἴσχει, καὶ ὅ τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτὴν, καὶ στένει τε, καὶ [13] δύσελπις μᾶλλον ἢ πρὶν φαγεῖν· πολλάκις δὲ καὶ πνίγεται. [14] Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω,

[1] Ὅταν C. – οὖν om. θ. – δὲ pro οὖν C. – ὅσα CK. – ποτιμάτων G. – πειρώμενον CFGHJKθ, Ald., Frob. – πειρώμενος vulg. — [2] αἱ μῆτραι ponitur post ἢν C. – παραλοξαίνονται vulg. – παραλοξένονται θ. – παραλοξαίνωνται CDGHIJK. – αὐτῶν C. – γένηται θ. — [3] αὕτη θ. – ποτὲ (bis) C. – τότε (bis) Gθ, Ald., Frob. – κρύπτηται θ. – κρύπτονται C. – οἴχηται θ. – γίγν. C. – γίνηται θ. – κακειω (sic) θ. – ἐλασσούμενα C. — [4] ἢ om. C. – πρὸ τούτου C. – προτοῦ GJ. – ἐγγίγν. C. – τούτου C. — [5] ἴσχῃ FGI. – ἴξας C. – νιαιρὰν θ. – νειαίραν C. – νειαιρὴν Lind. – καὶ τὴν ὀσ. om. C. – ἐφέλκῃ GI. – ἐφέλκεται DLQ'. – ὅταν οὕτως C. – ὅταν H. — [6] ὅταν CD. — [7] παραφάσας C. – πειρεύμενος θ. – πειρώμενος vulg. – ἢν pro ἂν θ. — [8] σικύοισι K. – καὶ μαλθ. C. – ὠμὰ καὶ ἑφθὰ θ. – καὶ ὠμὰ καὶ ἑφθὰ C. — [9] ξ. H. – σ. vulg. – συνευδέτω Cθ. – κατακίσθω θ. – τὸ δὲ ἕτ. π. om. C. — [10] ἀναπρησθῶσιν C. – πρησθῶσιν Dθ, Lind. – πρισθῶσιν vulg. – αἴρηται Frob. – φυσσ. J. – οἰδέονται θ. — [11] καὶ ἡ χολὴ δὲ αυδης (sic) C. – γίγν. C. – ἐπιμήνια κρύπτεται (οὐ γίνεται θ, Lind.) καὶ ἡ γονὴ (χροιῆ sic pro γ. θ) οὐκ ἐγγίνεται τούτου C (τουτέου θ, Lind.). – ἐπιμήνια οὐ γίνεται τουτέου vulg. — [12] ἀσθμαίνει CLθ, Vaticana exempl. ap. Foes in

le sang. On essaye quelles sont les boissons qui conviennent le mieux, et on les donne. La femme mangera du chou et boira l'eau de chou.

40. (*Obliquité de la matrice; la sage-femme la redresse.*) Si les matrices deviennent obliques, l'orifice devient oblique aussi; les règles tantôt sont supprimées, tantôt n'apparaissent que pour passer aussitôt; elles n'ont plus même apparence et sont plus mauvaises et moindres qu'auparavant; pendant ce temps, il n'y a pas de conception. De la douleur est ressentie au bas-ventre, aux flancs, aux lombes et à la hanche, qui en éprouve de la contracture. Les choses étant ainsi, il faut administrer un purgatif, laver à l'eau chaude et donner une fumigation. Aussitôt après la fumigation ou le bain, la sage-femme, introduisant le doigt, redressera et corrigera l'orifice des matrices. La malade recevra les fumigations aromatiques; vous arriverez, en tâtonnant, à lui donner les breuvages qui lui conviennent le mieux; elle usera d'aliments émollients; elle mangera de l'ail cuit et cru; elle dormira avec son mari; elle se couchera sur la hanche saine; des fomentations seront faites sur l'autre. Cette maladie est de difficile solution.

41. (*Matrice s'emplissant de vent.*) Si les matrices s'emplissent de vent, le ventre se tuméfie et est soufflé; les pieds se gonflent, ainsi que le dessous des yeux; la couleur devient désagréable; les règles sont supprimées, et durant ce temps il n'y a pas de conception. La femme a de la faiblesse et de l'anxiété, et, quand elle se lève ou marche, sa respiration est gênée; quoi qu'elle mange ou boive, elle en éprouve du malaise, elle se plaint, et est plus découragée qu'avant de manger; souvent même elle suffoque. Les choses étant ainsi, administrez un médicament qui évacue par le bas, lavez avec l'eau chaude

not., Lind. – ἀσθενέει J. – ἀσθενεῖ vulg. – ὅταν C. – ἀναστῇ C. – ἀνίστηται vulg. – προέλθῃ Cθ. – προσέλθῃ vulg. – ὀρθόπνια (ὀρθόπνοια θ) αὐτὴν ἴσχει Cθ. – ἐς τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει vulg. – λυπέῃ θ. – λυπεῖ vulg. – σθένεται pro στένει τε C (θ, στενειται sic). — [13] δυσημεῖ vulg. – δυσεμεῖ D. – δυσειμεῖ J. – ἀθυμέει de Morb. Mul., II. – δυσθυμεῖ Lind. – δύσελπις C. – φαγεῖ J. — [14] ὅταν οὕτως C. – χρὴ πίσαι Cθ. – κάτω om. C.

καὶ τῷ θερμῷ λούειν καὶ πυριῆν· διαλιπὼν δὲ [1]χρόνον τινὰ, προστιθέναι ὑφ' ὧν καθαρθείη καὶ δηχθήσεται· πυριῆν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα· [2]τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κακώδεα· καὶ ποτήματα δίδου, ὅσα καθαίρει ὑστέρας· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸ γάλα [3]πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. Ἡ δὲ νοῦσος χρονίη.

42. [4]Ἢν θρομβωθέωσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐσαφάσσῃς, ὄψει [5]ὧδε ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, οὐδ' ἡ γονὴ κατέχεται. [6]Ὁκόταν οὖν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλεπίσαντα, [7]καὶ σκόροδον καὶ ἅλας καὶ σῦκον καὶ μέλι ὀλίγον, ταῦτα τρίψας καὶ ξυμμίξας, ποιήσας βάλανον, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν [8]τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστὶ καὶ ἀπεσθίει, [9]καὶ ὑφ' ὧν καθαίρεται αἷμα, καὶ τῶν ποτημάτων διδόναι ὅσα ὑστέρας καθαίρει, [10]καὶ περὶ ξύστραν περιειλίξας γυπὸς δέρμα ἢ ὑμένα, διαξύειν τὸ στόμα τῶν μητρέων.

43. Ἢν [11]περιστραφέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται, [12]καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας· καὶ ἢν ἐσαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ἀνακεχώρηκεν ἰσχυρῶς. [13]Ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι ὑφ' οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον· καὶ πυριῆν τό τε [14]σῶμα καὶ

[1] Καιρὸν C. – τινὰ om. Cθ. – καθαίρεται Cθ. – τε καὶ θ. – μὴ δηχθ. Cornar. ex lib. II de Morb. Mul., Lind. – δειχθήσεται θ. – πυριὴν C. – πυκνότατον DQ', Lind. – πυκνότητα Ald. – τὸ μὲν ὅλον τὸ σῶμα C. — [2] τὸ pro τότε C. – δὲ καὶ ὑπὸ FGIJ, Ald. – τὰ om. J. – ὑποθ. τὰ εὐ. om. C. – Post ὑστ. addunt καὶ ἐλαύνει C, Vaticana exempl. ap. Foes (θ, ἐλάσσει; Ald., ἐλάσεις). – λινόζωστιν CDθ. – λινοζῶστιν vulg. — [3] καταπινέτω C. – μεταπινέτω θ. – γέγραπται Cθ. – οὐ χρονίη legit Cornar. ex libr. II de Morb. Mul. — [4] Ante ἢν addit ἄλλη θεραπεία vulg. – ἄλλη θερ. om. CDHIKθ, Lind. – περὶ θρομβώσεως μήτρας, συμπτωμάτων καὶ θεραπεία in marg. θ. – θρομβωθῶσιν vulg. – θρομβοθέωσιν C. – θρομβωθέωσιν θ. – τό τε στ. Cθ. – αὐτῶν C. – ὀρρόβων C. – ἐσαφάσῃς C. — [5] οὕτως C. – γίγν. C. – οὐδὲ CDθ. – ἡ om. C. – Post κατ. addunt τέως ἂν ὧδε (οὕτως C) ἔχῃ Cθ, Ald. — [6] ὁκ. οὖν ὧδε ἔχῃ om. C. – οὖν om. θ. — [7] χρὴ καὶ Cθ. – συμμ. CJθ. – [καὶ] ποι. Lind. – προσθέτων θ, Lind. — [8] τῶν μ. τὰ πρ. om. Cθ. – ὅσα C. – ὁκόσα τε θ. – δηλαδὴ om. Cθ. – δριμέα τε C. – ἀπεσθίει C. – ἀνεσθίει θ. – κατεσθίει sine καὶ L. – ἐσθίει vulg. — [9] Ante καὶ addunt προστιθέναι δὲ C (θ, sine δέ). – αἷμα om., restit. al. manu D. — [10] καὶ περιξύσας πάντα καὶ περιειλίξας (περιει-

et faites une fumigation; après un certain intervalle, mettez les pessaires qui sont mondificatifs et mordants; vous ferez aussi souvent que possible des fumigations de tout le corps; alors vous ferez des fumigations aromatiques aux parties génitales, fétides aux narines. Vous donnerez les boissons qui purgent les matrices. La malade mangera la mercuriale et boira du lait comme il a été dit pour le côté. La maladie est de longue durée.

42. (*Caillots de sang dans la matrice.*) Quand des caillots se forment dans les matrices, l'orifice en devient comme plein de grains d'ers; si vous le touchez, vous le trouverez en cet état; les règles ne paraissent pas, et la semence n'est pas conservée. Les choses étant ainsi, prenez du cyclamen dont vous aurez ôté l'écorce, de l'ail, du sel, des figues, un peu de miel; pilez, mêlez, faites un pessaire et appliquez-le à l'orifice des matrices, ainsi que, parmi les autres pessaires utérins, ceux qui conviennent, à savoir les pessaires âcres, mordants, et provoquant le sang. Vous donnerez les boissons qui purgent les matrices; et, ayant entouré d'une peau ou membrane de vautour une étrille, vous ratisserez l'orifice utérin.

43. (*Déviation de la matrice.*) Si les matrices ont une entorse, les règles ne paraissent pas; il n'y a pas de conception; de la douleur est ressentie au bas-ventre, aux lombes et aux flancs. Si vous touchez avec le doigt, vous ne pouvez atteindre l'orifice, qui est grandement retiré. Les choses étant ainsi, administrez un médicament qui évacue par haut et par bas, mais surtout par bas; on fera des fumigations, tant générales du

λίσας DHIK; περιειλήσας J) κύστιος δέρμα vulg. – καὶ περὶ ξύστραν περιειλίξας γυπὸς δέρμα Lind. – καὶ περὶ ξύστραν πάντα καὶ περιειλίξας γυπὸς δέρμα Vaticana exempl. ap. Foes. – καὶ περίξυστραν (sic) καὶ περιελλίξας γυπὸς δέρμα C. – καὶ περιξύσας πᾶν περιελίξας κύστιος δέρμα θ. — [11] περιστραφέωσιν θ. – περιστραφῶσιν vulg. – περὶ τῶν περιστρεφομένων ὑστερῶν συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – γίγν. C. – ὀδύνη pro ἡ γονὴ C. — [12] καὶ ἡ ὀδ. C. – νειαίραν C. – νιαιρὰν θ. – νειαιρὴν Lind. – ἐσαφάσεις C. – ἐσαφάσσης Dθ. – δύναιο C. – θίγειν CFGHIJθ, Ald., Frob., Lind. — [13] ὅταν C. – ὧδε θ. – καὶ ἄνω καὶ κάτω C. – μᾶλλον δὲ pro κάτω δὲ μ. C. — [14] σῶμα Cθ, Vaticana exempl. ap. Foes. – στόμα vulg. – ὡς om. C. – ποτιμάτων G. – προσδέξηται θ. – δίδου πειρ. C.

τὰς μήτρας ὡς μάλιστα· καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης· καὶ τῶν ποτημάτων ὅ τι ἂν μάλιστα προσδέχηται πειρώμενος δίδου· καὶ [1] ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω.

44. [2] Ἢν μὴ κατὰ χώρην μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἀλλ᾽ ἔνθα καὶ ἔνθα προσπίπτωσιν, ὀδύνας παρέχουσι καὶ ἀφανέες [3] γίνονται, ὁτὲ δὲ ἐξίσχουσιν ὥσπερ ἕδρη· καὶ ὁκόταν μὲν ὑπτίη κατακειμένη [4] τύχῃ, κατὰ χώρην μένουσιν· ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται· πολλάκις δὲ καὶ [5] ἡσυχίην ἐχούσῃ. Ταύτην χρὴ ὡς μάλιστα ἡσυχάζειν καὶ μὴ κινεῖσθαι, καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην, καὶ τοῖσιν αὐτέοισι χρῆσθαι, [6] ὥσπερ ἐν τοῖσιν ἐπάνω, καὶ [7] τοῖσι στρυφνοῖσιν αἰονῆν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ [8] δὲ τὰς ῥῖνας τὰ εὐώδεα· καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, χλιήναντα ἐν οἴνῳ, ἥτις ἂν μάλιστα ἁρμόζῃ καὶ μὴ πιέζῃ λίαν, προστιθέναι ὡς προσωτάτω· [9] ὁκόταν δὲ προσθῇς, ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ ἀναλαβὼν, ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ καὶ ποιέῃ τὸ [10] δοκέον· καὶ τῶν μηκώνων ξὺν τῷ τυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται· [11] καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι [12] χρήσθω.

[1] Σ. Cθ. – ξυνευνέτω DGHIK. – ξυνευναζέτω J. — [2] ἄλλη θεραπεία G. – περὶ παρακινήσεως μήτρας καὶ προσπτώσεως ἐπί τι, καὶ εἰς ἕδρην ἐξοχῆς, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – ἢν [δὲ] μὴ Lind. – χώρην DJKθ. – χώραν vulg. – μὲν ὦσι θ. – κιν. αἱ μ. om. C. – ἔνθα δὲ προσπίπτουσιν (προσπίπτωσιν J, Lind.) ὀδύνας παρέχωσι (παρέχουσιν DK, Lind.) vulg. – ἀλλὰ ἔνθα προσπίπτουσαι ὀδύνας παρέχωσι C. – ἀλλ' ἔνθα προσπίπτωσιν ὀδύνην παρέχωσι θ. – ἔνθα δὲ καὶ ἔνθα προσπίπτωσιν ὡς ὀδύνας παρέχειν L ex lib. II de Morb. Mul. – C'est aussi d'après ce passage parallèle que j'ai réformé le passage actuel. — [3] γίγν. C. – γίνωνται θ. – τότε Cθ. – ὅτε G, Ald., Frob., Lind. – ἐξίσχωσιν vulg. – ἐξίωσιν CLθ, Lind. – ἐξίσχουσιν (D, al. manu χω) K. – ὡς παρέδρη θ. – ἑδρῇ (sic) Ald., Frob. – καὶ ὁκ. Cθ. – καὶ om. vulg. — [4] ἡσυχῇ pro τύχῃ C, Vaticana exempl. ap. Foes. – μὲν οὖσιν θ. – ὁκόταν θ. – ἄλλ' ὅτι θ. — [5] ἡσυχίαν θ. – ἐχούσῃ Cθ, Lind. – ἔχουσι (ἔχει G) vulg. – ὡς ὅτι (ὅτι om. Gθ, Lind.) vulg. – Post ἡσυχάζειν addunt τι C (θ, τε). – τοῖς θ. – τοῖσιν om. C. – αὐτοῖς C. – αὐτοῖσι θ. – χρήσασθαι C. — [6] ὅπως ἂν pro ὥσ. ἐν C. – τοῖς θ. — [7] τοῖς vulg. – τοῖσι IKθ, Lind. – στρυφνοῖς C. – δὲ αἰονεῖν C. – αἰονᾶν vulg. – αἰονῆν HK. – αἰωνᾶν GI, Ald., Frob. — [8] τε pro δὲ C. – τὰ om. C. – εὔδεα (sic) θ. – καὶ ῥοιὰν vulg. – καὶ τοῦ ῥοιῶν (sic) GHIJ, Ald. – καὶ τῶν ῥοιῶν CDFKθ, Vaticana exempl. ap. Foes. – τοῦ om. θ. – τρήσαντα (τρήσαντος J) μέσην (μ. om. θ) πίσσαν (πίσσην θ; π. om. C) χλιήναντα ἐν οἴνῳ (ἐν οἴνω χλιά. C, θ χλιήν.) ἥτις ἂν μ. ἁ. καὶ μὴ (μὴ

corps que particulières de la matrice; on lavera à l'eau chaude deux fois par jour; on arrivera, en tâtonnant, aux boissons qui conviennent le mieux à la femme: elle dormira souvent avec son mari; elle mangera du chou.

44. (*Matrice déplacée, ne restant pas en place.*) Si les matrices déplacées ne restent pas en leur lieu, mais vont se jeter çà et là, elles causent des douleurs, et tantôt deviennent invisibles, et tantôt font saillie comme le siége. Quand la femme est couchée sur le dos, elles demeurent en place; quand elle est debout, ou qu'elle se baisse ou qu'elle fait tout autre mouvement, elles sortent, et souvent même la femme étant en repos. Il faut que la malade se tienne aussi tranquille que possible, ne bouge pas, ait un lit plus élevé aux pieds, et use des mêmes moyens que dans les cas précédents. On fera des affusions avec les astringents, des fumigations par le bas avec les substances fétides, sous les narines avec les aromatiques. Vous percerez, par l'ombilic, une grenade, vous la chaufferez dans du vin et vous l'appliquerez en pessaire le plus avant possible, choisissant celle qui va le mieux et qui ne distend pas trop; quand elle est en place, vous fixez aux lombes un bandage large qui la reprend de manière que, ne glissant pas, elle reste en place et fasse son office. Vous donnerez à boire du pavot avec le fromage et la polenta, comme il a été écrit dans le transport de la matrice contre le côté. Vous arriverez, en tâtonnant, à prescrire les boissons qui conviennent le mieux. La malade usera des aliments les plus émollients.

om. C) πιέζου (πιέζων Lind.; πιέζει θ, Vaticana exempl. ap. Foes; πιέζῃ CDHIJK) λίαν προστιθεὶς (προσθεὶς θ; προστίθει C) ὡς vulg. - ἐσώτατα C. - ἐσωτάτω θ. - Il faut lire προστιθέναι. — [9] ὅταν C. - δέ τι (τι om. Cθ) vulg. - προστιθῇς vulg. - προστίθῃς H, Ald., Lind. - προσθῇς C. - προσθεὶς θ. - προστιθεὶς J. - ἐκ τῆς ὀ. om. C. - ἐπανάδησαι C. - ἐξολισθαίνῃ DJ. - ποιῇ C. - ποιέει K. — [10] δέον Cθ, Vaticana exempl. ap. Foes, Lind. - σὺν C. - πυρῷ vulg. - πυρὶ C. - πυρρῷ GK. - τυρῷ θ, Vaticana exemplaria ap. Foes, Lind. - τοῖς θ. - τοῖς ἀλφίτοις C. - προπτώσει C. - προσπόσει (sic) IJK. — [11] καὶ CJ. - καὶ om. vulg. - ποτιμάτων G. - ποιημάτων θ. - πηρώμενος C. - μαλακωτάτοισι CJ. — [12] Post χρήσθω addit καὶ μετὰ (μετ' C) ἀνδρὸς ὡς ὅτι (ὡς ὅτι om. C) μάλιστα κοιμάσθω vulg. - καὶ.... κοιμάσθω om. θ.

45. Ἦν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων [1] μᾶλλον ἢ ὡς πέφυκε, τὰ ἐπιμήνια γίνεται πλείω καὶ κακίω [2] καὶ ὑγρότερα καὶ διὰ πλέονος χρόνου, καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται [3] οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω· καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων, εὑρήσεις ἀνακεχηνὸς, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων, καὶ πυρετὸς, καὶ ῥῖγος, καὶ ὀδύνη ἴσχει [4] τὴν νείαιραν γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. Πάσχει δὲ ταῦτα [5] μάλιστα μὲν, ἤν τι ἐν αὐτῇ χυθῇ καὶ διαφθαρὲν σαπῇ· πάσχουσι δὲ καὶ ἐκ τόκων, αἱ δὲ καὶ ἄλλως. [6] Ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν ὑφ' οὗ ἄνω καθαιρεῖται· καὶ [7] ὁκόταν ἡ ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι, καὶ τῷ θερμῷ λούειν, [8] καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τῶν ποτημάτων διδόναι ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν [9] ὁκόσα ξηραίνει, καὶ τῶν πουλυπόδων ἐσθιέτω, καὶ τὴν λινόζωστιν.

46. Ἦν [10] λειανθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλέω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνότερα, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα [11] λεῖον, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς, καὶ ῥῖγος, καὶ ὀδύνη [12] ἐς τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως· [13] ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρὴ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται.

47. Ἦν αἱ [14] μῆτραι κατὰ τὰ ἀριστερὰ νεύωσι, τὸ ἰσχίον ὀδύνη

[1] Ante μᾶ. repetit ἀναχάνῃ C. – τά τε (τε om. C) vulg. — [2] καὶ om. CFG. – καὶ ὑγρ. om. K. – πλείονος DHKθ. — [3] οὐδ' θ. – ἐμμένῃ Ald., Frob. – μένει CDFGHIJK. – ἐξωθεῖται J. – ἔξω om. CJθ. – ἐσαφάσῃς C. – τῶν μ. om. Cθ. – ἀδυναμίην J. — [4] Ante τὴν addit καὶ K. – νειαῖραν C. – νιαιρὰν θ. – νειαιρὴν Lind. — [5] Ante μ. addit καὶ θ. – χυθῇ καὶ om. Cθ. — [6] ὅταν C. – γοῦν om. Cθ. – οὖν J. – οὕτως C. – ὧν pro οὗ H. – ἀνακαθαίρεται pro ἄνω κ. DK. – καθαίρεται vulg. – καθαιρεῖται C. — [7] ὀπ. C. – ὧδε pro ἡ ὀδ. J. — [8] καὶ μὴ διαλιπόντα C. – μὴ διαλιπὼν Vaticana exempl. ap. Foes. – διαλιπόντα θ. – προτέρης DHIθ. – προτέρας vulg. – ποτιμάτων G. — [9] ὅσα C. – ὁπόσα J. – πουλυπόδων θ. – πολ. vulg. – λινόζωστιν CD. – λινοζῶστιν vulg. — [10] λιανθέωσιν IKθ, Ald. – λειανθῶσιν D. – λεανθέωσιν J. – διαθῶσιν C. – πλέω HIJK, Ald., Frob. – πλείω vulg. – γίγν. C. – καὶ κακίω om. C. – ἐσαφάσῃς C. – ὄψῃ θ. — [11] λίον θ. – λείη C. – ἀδυναμείη C. – λαμβάνῃ θ. – ἐμμήνων GKθ. — [12] ἐς τε τὴν C. – νειαῖραν C. – νειαιρὴν Lind. – νιαιρὰν θ. – τὰ pro τι C. – διαφθαρῇ ἢ σαπῇ C. – καὶ ἐκ τοῦ τ. C. — [13] ὁκόταν θ. – οὕτως C. – θεραπεύειν.... πῖσαι om., restit. al. manu D. – ὁπόταν pro ὅκου ἂν C (θ, ὁκόταν). – πρότερον C. – Post

45. (*L'orifice de la matrice est béant.*) Si l'orifice est plus béant que d'habitude, les règles sont plus abondantes, plus mauvaises, plus humides et plus prolongées; la semence ne prend pas, ne demeure pas et retombe en dehors. Si vous touchez avec le doigt, vous trouvez l'orifice des matrices béant. La femme est dans l'adynamie à cause des règles; il y a fièvre, frisson, douleur au bas-ventre, aux flancs et aux lombes. La femme éprouve surtout ces accidents si quelque chose, s'étant formé en elle, cesse de vivre et se corrompt; elle les éprouve aussi après l'accouchement, et encore d'autre façon. Les choses étant ainsi, vous donnerez un médicament qui évacue par le haut. Quand il y a douleur, vous ferez les applications chaudes; vous laverez à l'eau chaude; et, après un intervalle, vous ferez des injections comme il a été dit dans le cas précédent; vous donnerez les boissons qui conviennent le mieux à la malade; vous prescrirez les fumigations qui dessèchent. Elle mangera des poulpes et de la mercuriale.

46. (*État lisse de l'orifice utérin, ce qui empêche la conception et cause des accidents.*) Si les matrices sont lisses, les règles sont plus abondantes, plus mauvaises, plus humides et plus fréquentes; la semence ne reste pas, elle retombe en dehors. Si vous touchez avec le doigt, vous trouvez lisse l'orifice. La femme est dans l'adynamie à cause des règles; il y a fièvre, frisson, douleur au bas-ventre, aux lombes et aux flancs. Cela arrive, surtout si quelque fœtus, ayant cessé de vivre, se corrompt en elle, et aussi à la suite de l'accouchement, et autrement encore. Les choses étant ainsi, on traitera, là où il y a douleur, comme il a été dit dans le cas précédent.

47. (*Inclinaison à gauche de la matrice.*) Si les matrices s'in-

πρ. addunt ταύτης CIJKθ. — [14] ὑστέραι C. – κατὰ γαστέρα νεύωσι (νέωσι IJK; ἔωσι H; ἐῶσι ἢ C) vulg. – κατὰ τὰ στέρνα ἐῶσι θ. – κατὰ τὰ ἀριστερὰ L, Lind. – Cette dernière leçon est la bonne; c'est celle du IIe livre des Maladies des Femmes, mais, là, il est d'abord question de l'inclinaison de la matrice à droite. – ἡ ὀδύνη C. – ἴσχει θ. – ὀξεία Cθ. – γε pro τε C. – τάς τε pro καὶ τὰς Cθ. – περὶ τῆς κατὰ τὰ στέρνα οὔσης ὑστέρας, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ.

ἔχει ὀξείη τε καὶ σπερχνὴ καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος ἐπισκάζει. [1]Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον, τῇ δὲ ὑστεραίῃ ὑποθυμιῇν· τῶν τε κριθέων χοίνικας δύο καὶ ἐλαίης φύλλα κατακνήσας μικρὰ, καὶ κηκίδα κατακόψας καὶ σήσας, καὶ ὑοσκυάμου τριτέα [2]χοίνικος, ταῦτα μίξας, καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ὑποθυμία ἐπὶ τέσσαρας ἡμέρας τρὶς τῆς ἡμέρης· τῆς δὲ νυκτὸς γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω, καὶ θερμῷ λουέσθω.

48. [3]Ἢν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, σημεῖον τόδε· τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν φησιν. Ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς, δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι, καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω, καὶ [4]ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιῤῥοφείτω.

49. [5]Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τραπῶσι, γνώσῃ τῷδε· τοὺς μεγάλους δακτύλους τῶν ποδῶν σπᾶται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. [6]Ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ πυριῇν ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῇν τὰ κακώδεα, καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι.

50. [7]Ἢν γυναῖκα ὑστέρας ἀλγέουσαν ἀσιτίη τε καὶ πυρετὸς καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς ὅσον πεμπτημόριον ἡμιχοινικίου, καὶ κνίδης καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον [8]ἡμιχοινίκιον ξύσας, ὁμοῦ μίξας, διεὶς οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφάνειν.

[1] Ὅταν οὕτως C. – ἔχει D. – δ' CDθ. – κριθῶν Cθ. – κατακνίσας Hθ. – μικρὰ Hθ. – μικὰ C. – πυκνὰ vulg. – κηκίδα GIθ, Ald., Frob., Lind. – κικίδα vulg. – σείσας θ. – οιος κυάμου (sic) θ. – τριτέα θ. – τριταία DI. – τριταῖα vulg. – τριταίου J. — [2] φοίνικος FGIJ. – περιποιησάσθω sine ὅσον C. – ἡμικοτυλίω C. – ἐν χυτρίῃ κενῇ C. – ἐν χ. καινῇ Vaticana exempl. ap. Foes. – καὶ ὑποθ. θ. – ὑποθυμίῃ C. – ἡμέρας om. D. – καὶ ὕδ. καὶ μέλι J. – καὶ τῷ θερμῷ CJθ. — [3] περὶ τῆς ἐν τῇ κεφαλῇ τρεπομένης μήτρας συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – τῇ CDFGHIJKθ, Ald., Lind. – τῇ om. vulg. – τάς ante τε om. D. – τε om. Cθ. – φησιν Cθ. – φασι Vaticana exempl. ap. Foes. – δοκεῖ vulg. – δοκέει Lind. – πολλῷ θερμῷ JK. – δάφνῃ θ. – μυρτίνην ἐνέψων C. – ἐν om. D. – χριέσθω Cθ. — [4] ὑπ. θ, Lind. – ἐπιθ. vulg. – εὔδεα (sic) θ. – ἐπιρροφείτω DHJK. – ἐπιροφείτω vulg. — [5] περὶ τῆς εἰς τὰ σκέλη καὶ τοὺς πόδας τρεπομένης, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – ἐν (ἐν om. Cθ) τῷδε (τόδε θ) vulg. – σπῶνται θ. – ἔχει L. — [6] ὅταν οὕτως C. – λούειν χρὴ Cθ. – ἂν om. C. – ἢν pro ἂν θ. – προσδέχεται C. – τὼ μυρὼ (sic) L. – τῷ ῥοδ. om. J. –

clinent à gauche, une douleur aiguë et violente se fait sentir à la hanche, aux lombes et aux flancs; la femme boite de cette jambe. Les choses étant ainsi, on administrera un purgatif, et, le lendemain, une fumigation ainsi préparée : orge, deux chénices, feuilles d'olivier, broyez, noix de galle, broyez et tamisez; jusquiame, tiers de chénice; mêlez, pétrissez avec une demi-cotyle d'huile dans un pot, et faites la fumigation pendant quatre jours trois fois le jour; pendant la nuit, la femme boira du lait de vache, du miel et de l'eau, et se lavera à l'eau chaude.

48. (*Hystérie.*) Si les matrices se tournent vers la tête, voici le signe : la femme dit souffrir aux veines des narines et du dessous de l'œil. On la lavera avec beaucoup d'eau chaude ; on lui fera des affusions sur la tête avec de l'eau où du laurier et du myrte ont cuit; on lui oindra la tête avec du parfum de rose; elle recevra les fumigations aromatiques; elle mangera du chou et boira l'eau de chou.

49. (*Hystérie.*) Si les matrices se tournent aux jambes et aux pieds; vous le connaîtrez à ce signe : la femme a des spasmes aux gros orteils sous les ongles, et de la douleur est ressentie aux jambes et aux cuisses. Les choses étant ainsi, on la lavera avec beaucoup d'eau chaude, on donnera le bain de vapeur qui convient le mieux, on fera les fumigations fétides, et on oindra avec le parfum de rose.

50. (*Affection de matrice compliquée d'inappétence et de fièvre.*) Si une femme souffrant de la matrice est saisie d'inappétence, de fièvre et de frisson, prenez la cinquième partie d'une demi-chénice de pavot blanc, autant de graine d'ortie, râclez une demi-chénice de fromage de chèvre, mêlez, trempez avec du vin vieux, puis faites cuire et donnez en potage.

ἀλειφέσθω θ. — [7] ἣν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα καὶ π. αὐτὴν καὶ ῥ. λαμβάνῃ vulg. – ἣν γυνὴ ὑστ. ἀλγέουσα ἀσιτέῃ τε καὶ π. αὐτὴν καὶ ῥίγος λαμβάνη θ. – ἣν γυναῖκα ὑστέρας ἀλγέουσαν ἀσιτίη τε καὶ π. καὶ ῥίγος λαμβάνει C. – πεμπτιμόριον C. – πεμπτήμορον θ. – κνίδης CDGHIJKθ, Vaticana exempl. ap. Foes, Lind. – κνιδίου vulg. — [8] ἡμιχοίνικα vulg. – ἡμιχοίνικον θ. – ἡμιχοινίκιον C. – ὁμοῦ τι μαλθάξας σὺν οἴνῳ vulg. – ὁμοῦ μίξας, διεὶς οἴνω Cθ. – δοῦναι θ. – ῥυμφάνειν K. – ῥομφάνειν Cθ. – ῥυφάνειν GHIJ, Ald.

51. [1] Ἢν ἐκ τόκου ῥοῦς λαμβάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψας καὶ ἐρίφου [2] πιτύην, διεὶς οἴνῳ μελανόχρῳ, τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα [3] πυρῶν πεφωσμένα ἐπιβαλὼν, κεράσας εὔκρατον, δὸς πιεῖν.

52. [4] Ἢν αἷμα ἐμέῃ ἐκ τόκου, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτῇ καὶ τὴν καρδίην, [5] καὶ σπᾶται. Ταύτην χρὴ λούειν πολλῷ [6] καὶ θερμῷ, καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἐπὶ ἡμέρας πέντε· μετὰ δὲ ταῦτα [7] μεταπιπίσκειν βοὸς μελαίνης, ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα, ἐς δὲ τὴν ἑσπέρην σήσαμον [8] τρίψαντα πιπίσκειν. Ἡ δὲ νοῦσος ἐπικίνδυνος.

53. Ἢν [9] γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται, τῶν ἐπιμηνίων ἐμφαινομένων, ὁκόταν ᾖ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, εἰρίῳ ἀνασπογγίζων, προστίθει· καὶ ἐχέτω [10] κείμενον ἡμέρας τρεῖς· τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα [11] καὶ ἀναδεύσας, προστίθει· καὶ ἐχέτω ἡμέρας τρεῖς· τῇ δὲ ἑτέρῃ ἐξελέσθω καὶ τῷ ἀνδρὶ ξυνελθέτω. [12] Λίνον τὸ σχιστὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμίδα κόψας λεπτὰ, καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας, χλιαίνων ἐν χυτριδίῳ, εἰρίον ὡς μαλθακώτατον ἐμβάπτων, τὸ μὲν

[1] Περὶ τῆς ἐκ τόκου γαστροροούσης, ἢ καὶ ῥοῦν ἐχούσης θεραπεία in marg. θ. – ῥοῦς λαμβ. om. C. – μὴ om. DHIJK. – ἐμμένει D. – ἐμμείνῃ K. – χρὴ om. C. – τὰ ἴσω θ. – τρίψαντα vulg. – τρίψας C. – ἐριφίου C. — [2] ποιτίαν C. – πυτίην H. – πητύην K. – πίτυν GJ. – πίτην I. – μέλανι χρέο (χρῶ C) vulg. – μελανίχρεο (sic) θ. – Je lis μελανόχρῳ. – ἄλφυτα I. — [3] πυρρῶν IK. – φυρῶν, eadem manu πυρῶν G. – πεφωγμένα D. – ἐπιβαλὼν C. – ἐπιβάλλων vulg. – εὔκρατα θ. – ἄκρατα C. – πίνειν C. — [4] περὶ τῆς ἐκ τόκου αἷμα εμουσαν (sic) θ. – ἐμῇ Cθ. – Ante ἡ addit ταύτης C. – Foes soupçonne qu'au lieu de σύριγξ il faudrait lire ἔριξ, qui est dans le Gloss. de Galien. – πρὸς pro ἐς Cθ. – φοιτῇ C. – φοιτᾷ vulg. – καρδίαν CK. — [5] καὶ om. C. — [6] καὶ om. CHIJKθ. – ἣν pro ἂν θ. – ἐπιπίσκειν (sic) J. – ἐφ' C. – ἡμέραις J. — [7] πιπίσκειν J. – ἀσιτεύουσαν D. – ἐφ' C. — [8] τρίψαντα C, Vaticana exempl. ap. Foes. – τρίβοντα θ. – τριπτὸν vulg. – τριπτὴν D. — [9] δὲ pro γυνὴ Cθ. – περὶ τὴν ἐκ χρόνου μὴ κύουσαν in marg. θ. – καταμηνίων C. – φαινομένων C (θ, addit μὴ ante φ.). – ὅταν C. – ἢ pro ᾖ C. – Post τετ. addit ᾖ C. – λείαν C. – λίην θ. – μυρίῳ C. – ἰρίνῳ pro εἰρίῳ Lind. – ἐρίῳ C. – προστιθέτω θ. — [10] κ. om. CKθ. – τῇ.... τρεῖς om. K. – Ante ξύσας addunt ῥάκος Cθ. – χολῇ αὔῃ sine καὶ ἐν ῥ. ἐπιθεὶς θ. – αὖθις pro καὶ ἐν ῥ. ἐπιθεὶς C. — [11] καὶ om. Cθ. – πρόσθες Cθ. – ἐφ' (ἐπὶ θ) ἡμέρας C. – δ' C. – ἑτέρῃ ἐξελέσθω (ἐξελάσθω θ) καὶ (καὶ om. C) τῷ

51. (*Flux survenant après l'accouchement.*) Si un flux survient après l'accouchement, et que les aliments ne demeurent pas dans le ventre, pilez du raisin sec noir, le dedans d'une grenade douce et la présure d'un chevreau, trempez dans du vin noir, raclez du fromage de chèvre, jetez du gruau grillé de blé, mouillez convenablement, et faites boire.

52. (*Vomissement de sang après l'accouchement.*) Si la femme vomit du sang après l'accouchement, le conduit du foie est blessé ; de la douleur est ressentie aux viscères et au cardia, et il y a des spasmes. On la lavera avec beaucoup d'eau chaude, on fera les applications chaudes qui conviennent le mieux ; on donnera du lait d'ânesse pendant cinq jours ; ensuite on fera boire, à jeun, du lait d'une vache noire pendant quarante jours ; le soir, elle prendra du sésame pilé. La maladie est dangereuse.

53. (*Moyens préconisés pour préparer une femme à concevoir.*) Si une femme depuis longtemps ne devient pas enceinte, prenez, à l'époque des règles, le troisième ou le quatrième jour, de l'alun ; pilez, mouillez avec du parfum, épongez avec de la laine et mettez en pessaire ; elle gardera cela en place trois jours ; le troisième, raclez de la bile de bœuf, mettez dans un linge, délayez dans l'huile ce qui a été raclé, pétrissez et mettez en pessaire ; cela sera gardé trois jours ; le troisième, la femme l'ôtera et s'unira à son mari. Prenez une poignée de lin fendu dans la paille même, broyez, trempez dans du vin blanc très-agréable pendant une nuit, passez, chauffez dans un pot, mouillez une laine très-molle et mettez en pessaire, ôtant

ἀνδρὶ συνέστω C (ξυνελθέτω Vaticana exempl. ap. Foes, Lind.) (θ, συνέτω sic). – ἑτέρῃ ἀνδρὶ ξυνελθέτω vulg. — [12] In tit. ὑστερέων νούσου πάσης CDθ ; ὑστερέων νόσου κατὰ πάσης I ; ὑστερέων πάσης νούσου θεραπευτικὸν Lind. – λῖνον HJ, Ald. – ταύτης τῆς καλάμης (C, καλάμου) vulg. – αὕτη ἡ καλάμη θ. – Lisez αὐτῇ τῇ καλάμῃ. – Voy. le Dict. de Schneider au mot λινοκαλάμη ; il cite de Diodore, I, 60, καλάμην κείροντες ἐκ τῆς ὁμόρου χώρας καὶ ταύτην σχίζοντες, λίνα παραμήκη κατεσκεύαζον.... τὰς θήρας τῶν ὀρτύγων ἐποιοῦντο. – κόψασα ἑπτὰ pro κ. λεπτὰ C. – καταβρέξαι θ. – τε om. Cθ. – ἡδύστω C. – ἀπειθήσας θ. – ἐναπηθήσας C. – κυθριδίω θ. – ἔριον Cθ. – μαλακώτατον C. – ἀφαιρεῖν C.

προστιθέναι, τὸ δὲ ἀφαιρέειν. [1]Ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐλαίῳ δεδευμένας ἐπ' ἀνθράκων· τῇ [2]δὲ ὑστεραίῃ ὄϊος χρὴ κρέας ἑψεῖν, κυτριδίῳ ἐξηθριασμένον· τὸ δὲ [3]κυτρίδιον εἶναι ὅσον χοέα, καὶ καθεψεῖν σφόδρα· ἐπειδὰν [4]δὲ ἑφθὰ ᾖ, ἀκροχλίερα κατεσθιέτω, καὶ τὸν ζωμὸν ἐπιῤῥοφείτω· τῇ δ' ὑστεραίῃ λιβανωτὸν καὶ [5]γλήχωνα λεῖα ποιήσας, ἀναδεύσας μέλιτι, εἰρίῳ ἀνασπογγίζων, προστίθει ἐπὶ τρεῖς ἡμέρας.

54. Ἢν [6]δὲ ἐς τὴν ἕδρην τραπῶσι καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύναι ἴσχουσι τήν τε ὀσφῦν καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας. [7]Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφῦν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ προστιθέναι [8]ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ τι ἂν μάλιστα προσδέχηται.

55. Ἢν [9]ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν, καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ τῇσιν ὑπὸ τὴν γαστέρα μίξας καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω.

56. Ἢν τὰ ὕστερα μὴ [10]δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν· ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας, ἀναχλιήνας, δίδου πιεῖν ὅσον κοτύλην.

57. [11]Ἢν φλεγμήνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κρίμνοις ἑψήσας σητανίοις, ἀκροχλίερον δίδου ῥοφῆν.

[1] In tit. ὑστερέων καθαρτήριον CGHI. – βούλει H. – ὑστέραν C. – κριθῆς J. – ἐν (ἐν om. Cθ) ἐλ. vulg. – ἐπὶ C. — [2] δ' CDθ. – χρὴ οἷα (sic) κρέα ἕψειν C. – κριθιδίῳ vulg. – κριθώδιον C. – χυτριδίῳ J. – La leçon de J me paraît la véritable, sauf qu'il faut sans doute prendre la forme ionienne, ici conservée fortuitement : κυτριδίῳ. — [3] κριθίον vulg. – κριθίδιον θ, Lind. – κριθώδιον C. – χόεα GHIJK, Ald., Frob. – καθέψειν C. — [4] δὲ om. Cθ. – ἴσθι pro ᾖ C. – ἀκροχλίερα CDθ. – ἀκροχλίαρα vulg. – ἐπὶ ῥοφείτω θ. — [5] γλίχ. CHJ. – λεῖα C. – λία θ. – λεῖον vulg. – ἐρίω θ. — [6] δ' θ. – δὲ om. C. – περὶ τῆς εἰς τὴν ἕδραν τρεπομένης ὑστέρας, συμπτωμάτων τε καὶ θεράπεια in tit. C. – τραπεῖσαι pro τρ. καὶ C. – κωλύσωσιν θ. – ὑποχωρεῖν C. – ὀδῦναι G, Ald. – νειαίραν C. – νείεραν H. – νειαιρὴν Lind. – νιαιρὰν θ. — [7] ὅταν οὕτως C. – τῷ om. J. — [8] ὅσα C. – καθαίρεται καὶ θ. – γαστέρας pro ὑστ. C. – στερέας (sic) pro ὑστ. I. – ἦν pro ἂν θ. — [9] ἑλκωσθῇ C. – πρὸς ἕλκωσιν ἢ φλέγματος στομίου in marg. θ. – καὶ pro ἢ C. – ἦν pro ἢ J. – χήνιον θ. – χήειον (sic) C. – λαγῶ C. – λαγώησι θ. – ἐρίῳ C. – μαλακωτάτω C. — [10] φαίνηται C. – ἀποφύγειν θ. – ἀσιτεῖν C. – ἐπιχέας ἔλαιον θ. – ἀναχλιαίνων Cθ. – ἀναχλιάνας DGIJ,

tour à tour le pessaire et le remplaçant par un autre. Si vous voulez purger les matrices, d'abord faites une fumigation, sur des charbons, avec de l'orge trempée dans de l'huile ; le lendemain, faites cuire du mouton qui aura été exposé au serein dans un pot ; la contenance du pot doit être d'un conge (3 litres,24), et la cuisson très-forte ; le mouton étant cuit, la femme le mangera tiède et en boira le bouillon ; le lendemain, pilez de l'encens et du pouliot, pétrissez avec du miel, épongez avec de la laine que vous mettrez en pessaire ; laissez pendant trois jours.

54. (*Déplacement de la matrice vers le siége ; remèdes.*) Si les matrices se tournent vers le siége et empêchent la sortie des selles, des douleurs sont ressenties aux lombes, au bas-ventre et aux flancs. Les choses étant ainsi, on lavera la femme avec l'eau chaude, on dirigera un bain de vapeur sur les lombes ; on fera des fumigations fétides ; on appliquera les pessaires qui purgent et nettoient les matrices, et on donnera les boissons qui lui conviennent le mieux.

55. (*Ulcération ou inflammation de l'orifice utérin ; remèdes.*) Si l'orifice est ulcéré ou enflammé, prenez myrrhe, graisse d'oie, cire blanche et encens ; mêlez dans du poil de lièvre de dessous le ventre, broyez et appliquez en pessaire dans une laine très-molle.

56. (*L'arrière-faix ne sortant pas ; remèdes.*) Si les secondines ne peuvent pas sortir, il faut aussitôt prescrire l'abstinence ; puis broyez des feuilles d'agnus dans du vin et du miel, ajoutez de l'huile, faites chauffer et donnez à boire une cotyle.

57. (*Inflammation de la matrice ; remède.*) Si les matrices sont enflammées, faites cuire les feuilles les plus tendres du sureau dans de la farine de blé de deux mois, et donnez à prendre tiède.

Ald. – πίνειν C. – κοτύλιον θ. — [11] ἢν δὲ D. – φλεγμαίνωσιν C. – πυρρῶν GK. – κρίμνοις C, Lind. – κριμνοῖς vulg. – κρήμνοις HK. – κριθμοῖς, al. manu κριμνοῖς D. – σιτανίοις K. – σιτανείοις J. – ἀκροχλίαρον vulg. – ἀκροχλίερον CDθ. – ἀκροχλίαιρον HI. – ῥοφῆν J. – ῥοφεῖν vulg.

58. Ἢν [1]μετακινηθέωσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, δήσας ἐς ὀθόνιον, [2]προσίσχειν· λιπαρὸν προσφέρειν μηδέν· πιεῖν δὲ διδόναι πυροὺς προκωνίας, καὶ μήκωνα [3]ὀπτὴν, καὶ ἐλελίσφακον, καὶ κύπερον, καὶ ἄνισον, ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον.

59. Ἢν τὰ ἐπιμήνια μὴ [4]γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα τὰ ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθρίασον· ἕωθεν δὲ [5]ποιήσας ὅσον κοτύλην, διεῖναι τὴν κράμβην καὶ τὸ πήγανον, ἔλαιον ἐπιχέας καὶ ἀναταράξας, δοῦναι πιεῖν· ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπιεῖν· ἢν δὲ βούλῃ, τῶν ἰχθυδίων ἑψῶν τῶν εὐωνοτάτων διδόναι ἐσθίειν καὶ τὸν ζωμὸν ῥοφάνειν.

60. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, [6]μύρτα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω τὰ αἰδοῖα· ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι.

61. Ἢν στραγγουρίη λάβῃ, τῆς [7]σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ὑποθεὶς ἀνθρακίην, [8]περίθες τῇ σικύῃ, τῆς [9]σμύρνης ξηρᾶς κεκομμένης ἐπὶ τὸ πῦρ ἐπιπάσας, περικαθίσας [10]ἐπὶ τὴν σικύην, καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης ὡς ἐσωτάτω,

[1] Μετακινηθῶσιν vulg. – μετακινηθέωσιν DHIJKθ. – τρίψας καὶ (καὶ om. Cθ) λειότατον (λεῖον C; λίον θ) vulg. – εἰς C. — [2] προσ. λιπαρὸν καὶ (καὶ om. C) (καὶ λιπαρὸν Lind.) προσφέρειν ἄλλο (ἄλλο om. Cθ) μηδὲν (ἄλλο δὲ μηδὲν Lind.) vulg. – πίνειν θ. – πυρροὺς GHIK. – πρόκονας C. — [3] λευκὴν Foes in not., Lind. – κύπειρον D. – κύπαιρον I. – κύπεριν (sic) J. – ἄνισον CDHJ. – ἄνησον K. – ἄννησον vulg. – ἄννησσον θ. – λία θ. – κηρυβίων D. – κυριβίων J. – καρυβίων L. – κυβηρίων θ. – ἡμέρας C. — [4] γίγν. C. – καιρῷ H. – λία θ. – ἔπειτεν C. – τὰ C. – τὰ om. vulg. – κριμνῶν pro κριθῶν C. – βρέγξας C. – κατέγγηται (sic) pro τέγγ. C. – ἐξωθρίασον FG. – ἐξεθρίασον J. — [5] πυριήσας DH. – διειέναι θ. – δεῖ εἶναι C. – πηγάνιον D. – πηγάνινον H. – ἔλαιον αὐτοῖς (αὐτοῖς om. θ) vulg. – καὶ om. Cθ. – ἔπειτεν C. – ἔπειτα.... ἐκπιεῖν om., restit. al. manu D. – πολύπουν C. – πουλύποδας J. – καταφαγεῖν sine δὸς Cθ. – βούλει H. – ἰχθυδίων Cθ. – ἰχθύων vulg. – εὐωδεστάτων vulg. – ἑωδοτάτων (sic) C. – εὐωνοτάτων θ. – Peut-être faut-il lire εὐζωμοτάτων. – καὶ τῶν ζώμων D. – ῥυμφάνειν DGHIJK, Ald. — [6] μύρου C. – μύρα GHIK, Ald. – μῦρα J. – τὰ αἰδοῖα CHIJKθ. – τὰ om. vulg. – Post αἰδ. addit τῷ οἴνῳ C. – ἔπειτεν

58. (*Déplacement de la matrice; remède.*) Si les matrices sont déplacées, prenez du lierre très-sec, broyez, attachez dans un linge et appliquez; n'administrez rien de gras; donnez à boire du blé en épis verts, du pavot grillé, de la sauge, du cypérus, de l'anis; pilez bien et trempez dans du vin; prenez encore de la balle d'orge, et donnez de chaque une demicotyle deux fois par jour.

59. (*Suppression des menstrues; remèdes.*) Si les règles ne viennent pas au temps réglé, pilez des feuilles de chou et de la rue, puis mouillez une chénice (1^{litre},08) de paille d'orge jusqu'à ce qu'elle soit humectée, exposez au serein; le matin, préparez de cela une cotyle, mouillez-en le chou et la rue, versez de l'huile, remuez et donnez à boire; puis étouffez des poulpes dans du vin blanc et faites manger; la femme boira le vin. Si vous voulez, on fera cuire de petits poissons à bas prix qu'elle mangera et dont elle boira le bouillon.

60. (*Aphthes des parties génitales; remèdes.*) Si les parties génitales sont aphtheuses, on fera cuire des baies de myrte dans du vin, et les parties génitales seront lavées avec cette décoction; puis on fera cuire de l'écorce de grenade douce dans du vin, on y mêlera de la myrrhe et de la résine, on mouillera avec du vin, on y trempera un linge qu'on appliquera.

61. (*Strangurie; remèdes.*) S'il y a strangurie, coupez la tête et le fond d'une courge, mettez dessous un réchaud à charbon, sur le feu jetez de la myrrhe sèche pulvérisée; la femme s'assoira sur la courge et fera entrer très-avant dans les parties génitales le bout de la courge, afin que les parties

C. – ἔπειτα.... ῥητίνης om., restit. al. manu D. – ῥοίης θ. – γλυκῆς C. – προστίθει C. — [7] συκίης C. – ὑποθεὶς C, Lind. – ἐπιθεὶς vulg. – ἀνθρακίη K. — [8] περιθεὶς C. – τῇ σικύῃ DFGHIJKθ. – τὴν σικύην vulg. — [9] μυρσίνης pro σμ. DHIK, Ald. – ξηρᾶς κεκομμένης Cθ, Vaticana exemplaria ap. Foes. – ξ. κεκ. om. vulg. – ἐ. τὸ πῦρ om. (D, al. manu ἐπὶ πῦρ) GHIJK. – ἐπιπάσας Cθ. – ἐπιπάσσας vulg. – καὶ (καὶ om. C, D restit. al. manu, GHIJK, Ald.) περικαθίσας vulg. — [10] περὶ Cθ, Vaticana exempl. ap. Foes. – ἐς τὸ αἰδ. om. (D, restit. al. manu) GHIJK.

ὅκως ἂν ἡ ἀτμὶς ὡς [1]πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται· καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι νήστει.

62. Ἢν [2]δὲ ἐς τὴν καρδίην προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνα, διεὶς ὕδατος κυάθοις τρισὶ καὶ ὄξεος λευκοῦ κυάθῳ καὶ μέλιτος τρίτῳ μέρει [3]κυάθου, χλιαίνων, νήστει δίδου ῥοφάνειν.

63. Ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος [4]λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελίσφακον ὁμοῦ τρίψας, διεὶς ὄξεος λευκοῦ κυάθῳ, ἐπιχέας οἴνου λευκοῦ κεχρημένου κύλικα, καταμίξας, ἔασον κεῖσθαι· ἕωθεν δὲ ἀπηθήσας, χλιήνας, πιεῖν δίδου.

64. Ἢν [5]ἀνεμωθέωσιν αἱ μῆτραι, ἢν ἄνεμος ἐγγένηται τῇ νηδύϊ, καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπερον κόψας, τέγξας τὴν νύκτα, ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν ἐς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν, ὄξος λευκὸν ὅσον κύαθον ἐπιχέας, ὀπὸν σιλφίου ὅσον κύαμον ἐμβαλὼν, ἑψήσας ἐνωμότερον, δίδου ῥοφάνειν.

65. [6]Ἢν ἐν τοῖσιν αἰδοίοισι [7]δυσοδμίη ἢ κίων ἐγγένηται καὶ ὀδύνη ἔχῃ, τὴν μὲν ὀδύνην παύσει σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει, τὴν δὲ δυσοδμίην ἄνισον τὸν αὐτὸν τρόπον διδόμενον· τὸν δὲ κίονα χρὴ ἀποτάμνειν.

[1] Πλειοτάτη C. – πορεύηται C. – ἀπογεύηται θ. – διδόναι ποτ. C. – νηστίδι Cθ. — [2] δὲ om. Cθ. – πρὸς θ. – καρδίαν vulg. – καρδίην CDHθ. – προϊστάμεναι vulg. – προσιστάμεναι CDθ, Lind. – πνιγῶσιν Cθ. – ἀπιστῶνται C. – γλήχωνα θ. – γλίχωνα C. – γλίχωνος HJ. – γλήχωνος vulg. – ὄξους C. — [3] κυάθω θ. – χλιένων θ. – νήστι (sic) θ. – νηστίδι C. – ῥομφάνειν Cθ. – ῥυμφάνειν DHIJK, Ald. — [4] λάβῃ C. – ἀρκέθου C. – ἐλελίσφακον C, Lind. – ἐλελισφάκου vulg. – διεὶς Cθ. – δίει vulg. – ἐς ὄξους (ὄξος DHIJ) λευκοῦ κύαθον (κυάθου DGHIJ, Ald.) vulg. – ὄξους (ὄξεος θ) λ. κυάθω C (θ, σκυάθω sic). – ἐπιχέας τε (τε om. Cθ) ἐπὶ (ἐπὶ om. θ) οἴνου vulg. – κεχραμμένου C. – καταμίξας C. – κατελίξας vulg. – καθελίξας D. – ἔασον om. Cθ. – θεῖναι pro κεῖσθαι C. – δὲ om. C. – ἀπειθήσας θ. – χλιήνας τε F. – χλιάνας τε DHIJK. – χλιήνας.... ἀπηθήσας om. G. – δίδου πιεῖν DHK. – δοῦναι Cθ. — [5] ἀνεμέωσιν vulg. – ἀνεμωθέωσιν C, Lind. – ἀνεμεθέωσιν (sic) θ. – καὶ (καὶ om. Cθ) ἢν (ἢν δ' C) ἄνεμος vulg. – μήτρῃ pro νηδύϊ legit Foes ex libro II de Morb. Mul. – ἐνῇ C. – ἢ pro ᾖ Ald. – ἐστὶ pro ᾖ DFHIJK. – πρὸς τὰς ἐνπνευματουμένας μήτρας in marg. θ. – κύπαιρον CIθ. – κύπειρον D. – τέγξας C. – τέγξαι vulg. – τὴν νύκτα πᾶσαν DFHIJK. – ἕωθεν δὲ DFHIJK. – ἀπειθήσας θ. – εἰς vulg. – ἐς CDHJ. – χύτραν C. – κρύμνα C. – πύρρινα GHIK. – καὶ (καὶ om. C) ὄξος vulg. – ὄξος.... ἐμβαλὼν om. K. – [καὶ] ὀπὸν Lind. – κυάμον Cθ, Lind. – κύαθον pro κύαμον vulg. – καὶ (καὶ om. Cθ) ἕψησας vulg. – ῥομφάνειν Cθ. – ῥυμφάνειν DGHIJK, Ald. — [6] πρὸς τὴν ἐν τῷ αἰδοίῳ δυστομίην (sic) καὶ ὀδύνην in marg. θ. – τοῖς

reçoivent le plus possible de vapeur (des Lieux dans l'homme, § 47). On lui fera prendre, à jeun, des boissons diurétiques.

62. (*Hystérie; remèdes.*) Si les matrices, se portant au cœur, suffoquent et ne lâchent pas prise, pilez de la graine de poreau et du pouillot; mouillez avec trois cyathes d'eau, un cyathe de vinaigre blanc et un tiers de cyathe de miel; chauffez et faites prendre à jeun.

63. (*Frisson survenant après l'accouchement; remède.*) Si du frisson survient à la suite de l'accouchement ou de l'avortement, pilez ensemble la graine de genièvre et la sauge, mouillez avec un cyathe (0^{litre},045) de vinaigre blanc, versez une tasse de vin blanc coupé, mélangez et laissez reposer; le matin, passez, chauffez et donnez à boire.

64. (*Air dans la matrice; remède.*) Matrices se remplissant de vent : lorsque du vent se développe dans la matrice et qu'il y a douleur, pilez de la sauge et du cyperus, laissez tremper pendant la nuit, filtrez le matin, versez dans un pot ce qui a passé, jetez du gruau de blé, ajoutez un cyathe de vinaigre blanc, mettez gros comme une fève de suc de silphium, faites peu cuire et donnez à boire.

65. (*Mauvaise odeur aux parties génitales et végétation; résection de la végétation.*) Si de la mauvaise odeur survient aux parties génitales, ou s'il s'y forme une végétation et qu'il y ait douleur, la douleur sera apaisée par la graine de persil donnée dans du vin, à jeun, la mauvaise odeur par l'anis donné de la même façon; la végétation doit être excisée.

vulg. – τοῖσιν C. – αἰδοίοις DHIK, Ald. — [7] δυσοσμίη vulg. – δυσοδμίη CJK. – δυστομίη θ. – ἢ (ἡ C) καὶ (καὶ om. C) κίων (κακίων θ) vulg. – Pour κίων la glosse de Galien est : κίων, τὸ ἐκ τῶν θηριδίων ἄθροισμα τῶν τὸν σῖτον διαβιβρωσκόντων, ὧν ἕκαστον κίων ὀνομάζεται· ἐπὶ τελευτῆς τοῦ δευτέρου τῶν γυναικείων. Cette glose ne va pas à notre passage; κίων signifie ici une végétation puisqu'il est dit qu'il faut la couper. – ἴσχῃ C. – τῆς μὲν ὀδύνης Cθ. – παύει D. – παύσῃς σελίνου καρπὸν δοὺς πιεῖν νῆστι C. – νήστι θ. – τῆς δὲ δυσοδμίης C (θ, δυστομίης). – δυσοσμίην vulg. – δυσοδμίην K. – ἄννησον vulg. – ἄννησσον θ. – ἄνισον CDHJ. – ἄνησον GK, Ald., Frob. – δίδου Cθ. – ἀποτέμνειν C.

66. Ἢν ἕλκεα ἐγγένηται [1]τοῖσιν αἰδοίοισι καὶ ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ καὶ βάτου καὶ ῥοιῆς γλυκείης τρίψας λεῖα, οἴνῳ παλαιῷ διεὶς, ἔπειτα λαβὼν σάρκα ποταινίην, προσθεῖναι, καὶ καταπλάσαι τοῖσι φύλλοισι, καὶ ἐχέτω τὴν νύκτα· [2]ἕωθεν δὲ ἐξελομένη, μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ διακλυζέσθω τὰ αἰδοῖα.

67. Ἢν τὴν γονὴν μὴ δέχηται, τῶν γυναικείων κατὰ φύσιν [3]γινομένων, ἡ μῆνιγξ ἐπίπροσθεν γίνεται· γίνεται δὲ τόδε καὶ ἐξ ἄλλων· [4]γνώσῃ δὲ τῷδε· ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ἄψῃ τοῦ προβλήματος. [5]Ταύτῃ χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας, [6]προσθεῖναι ὡς ἐσωτάτω, ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου· ὁκόταν ἐξαγάγηται, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιερῷ κλυζέσθω.

68. [7]Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδαμώμου τὸ ἴσον, καὶ πήγανον, καὶ [8]κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, πίνειν δοῦναι νήστει· δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι καὶ μὴ πυκνὰ ἐσθίειν.

69. [9]Ἢν τίκτουσα ἐξανεμωθῇ, ἧπαρ οἰὸς ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας, καὶ οἶνον πινέτω παλαιόν.

70. Ἢν τὰς ἰξύας ἀλγέῃ, [10]ἄνισον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμοῦ πινέτω.

[1] Ἐν (ἐν om. C) τοῖσιν vulg. – κνησμὸς DH. – ἐλαίης om., restit. al. manu H. – καὶ βάτου καὶ κισσοῦ Cθ. – λεῖα C (θ, λία), Vaticana exempl. ap. Foes. – λεῖα om. vulg. – ἐν οἴνῳ τε διεὶς π. vulg. – οἴνω π. διεὶς Cθ. – ποταμίην C. – καταπλάσας C. – καταπλάσσαι D. – καταπλᾶσαι Ald., Frob. – τοῖς Cθ. – φύλλοις C. — [2] ἕτερον δ' ἐξελόμενος C. – ἐν om. D. – ἀφέψουσαν C. – ἐναφέψουσα D. – διακλύζεσθαι C. — [3] γιγ. C. – ἐπίπροσθεν (ἐπίπροσθε θ) τούτου (τούτου om. C; τοῦ τούτου θ) (τοῦ στόματος sine τούτου Lind.) γίνεται (γίγν. C) vulg. – τόδε C. – τόδε om. vulg. — [4] γ. δὲ τ. om. C. – γνώσει θ. – τῶδε Jθ, Lind. – τόδε vulg. – ἐσαφάσσῃ J. – ἐσαφάσῃ C. – ἐσαφάσῃς HI. – ἀς ἀφάσσῃς (sic) θ. – γὰρ τῷ IJK. – ὄψει θ. — [5] ταύτῃ CDIJKQ'θ, Lind. – ταῦτα vulg. – δὲ χρὴ DQ. – προσθέματα θ. – πρόσθεσμα (sic) C. – πρόθεμα DGHIJK. — [6] πρόσθες ἅμα (ῥάμμα θ) ἐκδήσας ἐκ (ἀπὸ θ) τοῦ ἄκρου ὡς ἐσώτατα C (θ, ἐσωτάτω). – ἐσώτατα K. – ἐνδήσας ἀπὸ vulg. – Post ἄκρου addit ὡς ἐσωτάτω al. manu H. – ὁκόταν (ὅταν C, Vaticana exempl. ap. Foes) γοῦν (γοῦν om. Cθ, Vaticana exempl.) ἐξάλληται (ἐξάληται GIJK; ἐξαγάγηται C) vulg. – ἀπέψων C. – χλιερῶ Cθ. – χλιηρῷ vulg. — [7] ἡ (sic) γυναῖκα ἄσθ. λ. C. – θίου θ. – καρδαμώμου Cθ. – καρδάμου vulg. – ῥέον pro ἴσον θ. – πηγάνου Cθ. — [8] κιμίνου C. – λία θ. – καὶ (καὶ om. Cθ) διεὶς ἐν (ἐν om. Cθ) οἴνῳ vulg. – πιεῖν C. –

66. (*Ulcérations aux parties génitales; remède.*) Si des ulcérations se forment dans les parties génitales et qu'il y ait démangeaison, pilez des feuilles d'olivier, de lierre, de ronce et de grenadier doux, mouillez avec du vin vieux, puis prenez de la chair fraîche, mettez-la en pessaire, et faites un cataplasme des feuilles, que vous laisserez pendant la nuit; la femme ôtera tout cela le matin, et, faisant bouillir du myrte dans du vin, elle se lavera les parties génitales avec cette décoction.

67. (*Sperme non reçu; obstacle venant d'une membrane; remède.*) Si la semence n'est pas reçue, bien que les règles aillent naturellement, l'obstacle vient de la membrane placée en devant; il tient aussi à d'autres causes. Vous vous en assurerez ainsi : introduisant le doigt, vous toucherez l'obstacle. Vous composerez un pessaire de la sorte : résine, fleur de cuivre, mouillez avec du miel, barbouillez un linge avec cette composition et introduisez-le aussi avant que possible, ayant attaché un fil à l'extrémité; quand il est retiré, la femme se lave avec une décoction tiède de myrte dans du vin.

30. (*Accouchement. L'accouchement est attribué à une action propre de l'enfant, en vertu d'une fausse analogie avec l'éclosion du petit de l'oiseau. Durée de la gestation, dix mois; causes d'erreur sur ce calcul. L'accouchement arrive quand l'aliment commence à faire défaut au fœtus, qui s'agite, rompt les membranes, et sort. Accouchements laborieux; effet des accouchements répétés chez les femmes.*) Quand le terme de l'accouchement arrive, alors l'enfant, se mouvant et agitant les pieds et les mains, rompt quelqu'une des membranes intérieures. Dès qu'une est rompue, les autres ont une force moindre. D'abord se rompent les membranes qui tiennent à

[1]τοῦ δεσμοῦ τὸ ἔμβρυον, καὶ χωρέει ἔξω κλονηθέν· [2]οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων, καὶ τούτων ἀπενεχθέντων οὐδὲ αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν· προσλαμβάνονται γὰρ [3]οἱ ὑμένες καὶ τῶν μητρέων, ὁκόταν ἀμφὶ τὸ παιδίον ἑλίσσωνται, οὐ πολλῇ δυνάμει. Ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, [4]βιῆται καὶ εὐρύνει τὰς μήτρας ἐν τῇ διεξόδῳ, ἅτε ἁπαλὰς ἐούσας· χωρέει δὲ ἐπὶ κεφαλὴν, [5]ἢν κατὰ φύσιν ἴῃ· βαρύτατα γάρ ἐστιν αὐτῷ τὰ ἄνω [6]ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. Ἐν δὲ τῇσι μήτρῃσιν ἐὸν ἐγκρατὲς μᾶλλον γίνεται [7]ἐς τῶν ὑμένων τὴν κατάῤῥηξιν ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίνεται. Ἢν δὲ βίαιον πάθημα πάθῃ τὸ παιδίον, καὶ πρόσθεν [8]τοῦ ὡρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται· καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς [9]τῷ παιδίῳ, καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ παραγίνεται, [10]καὶ θᾶσσον δέκα μηνῶν ἐξέρχεται. Ἀλλ' ὅσαι δὴ ἔδοξαν πλείονα χρόνον δέκα μηνῶν ἔχειν, ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα, [11]κεῖναι διεβλήθησαν τρόπῳ τοιῷδε ᾧ μέλλω ἐρέειν· ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσιν [12]ἐς σφᾶς αὐτὰς ἀπὸ τῆς κοιλίης φῦσαν παρεχούσης καὶ ἐξαρθῶσι, γίνεται γὰρ τοῦτο, δοκέουσι δὴ αἱ γυναῖκες πρὸς [13]σφέας ἔχειν τότε· καὶ ἢν καταμήνια μὴ χωρέοντα [14]ξυστραφῇ ἐν τῇσι μήτρῃσι καὶ ἔῃ χρονιώτερα, ἀεὶ διαῤῥεῖ ἐς τὰς μήτρας, ἔστι μὲν ὅτε ξὺν τῷ ἀπὸ [15]τῆς κοιλίης πνεύματι, ἔστι δ' ὅτε καὶ θερμαινόμενα, καὶ δὴ καὶ τότε ἐν γαστρὶ δο-

[1] Ἀπὸ τοῦ vulg. – ἀπὸ om. Cξ. — [2] οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων (ὑμενέων E) προδόντων· (hic addit καὶ τούτων ἀπενεχθέντων Mercur. in marg.) οὐδὲ (αἶδε pro οὐδὲ J) αἱ μῆτραι δύνανται ἔτι (οὐκ ἔτι ἴσως Mercur. in marg.) τὸ παιδίον ἴσχειν, τῶν ὑμένων (ὑμενέων E), ὡς ἔφην, προδόντων (τῶν ὑμ., ὡς ἔφην, προδ. desiderantur in quibusdam, ait Zwing. in marg.) καὶ τούτων ἀπενεχθέντων· προσλαμβάνονται vulg. – οὐ γὰρ ἐστὶ (ἐστὶ punctis notatum eadem manu C) (ἐστὶ om. ξ) ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων καὶ τούτων ἀπενεχθέντων αἱ μῆτραι ἔτι τὸ παιδίον ἴσχειν· προσλαμβάνονται Cξ. – Cette phrase me paraît fort douteuse. Il faut supposer que δεσμὸς est le sujet de ἔχει; et la construction ne l'indique pas. Quant au reste, je prends la leçon de C, seulement rectifiée à l'aide du texte de vulg. — [3] οἱ om. C. – ἐλίσσονται (ἐλ. Frob.) vulg. – ἐλίσσωνται ξπ. – πολλῷ EHK. – χωρέει CO, Mack. — [4] κινεῖ al. manu in marg. H. — [5] ἢν C. – εἰ vulg. – εἴη pro ἴῃ J. — [6] αὐτοῦ pro ἐκ τοῦ O. – ἐὸν Cξ. – ἐνεὸν vulg. — [7] εἰς vulg. – ἐς Lind. – ἐκ CE (F, al. manu ἐς) HIJKOδ, Ald., Mercur. in marg. – ἐς ἐκ τῶν G. – ὑμενέων EFGHI. – ἅμα δ' ἑκάστω EFGHIJδπ, Ald. – ὁ om. π. — [8] τούτου τοῦ pro τοῦ ὡρ. CHKξ. – ὡρ. EFGIπ, Mack. – ὁρ. vulg. – ὑμενέων E. — [9] τὸ παιδίον G. — [10] καὶ E (H, al. manu) KOP'π. – καὶ om. vulg. – δὲ δέκα

celle-là, puis la dernière. Les membranes étant rompues, le fœtus se délivre du lien et chemine au dehors en s'agitant. Car le lien n'a plus de force, les membranes cédant; et, à leur défaut, les matrices ne peuvent retenir l'enfant. Les membranes, il est vrai, quand elles s'enroulent autour de l'enfant, s'attachent aussi aux matrices, mais non avec une grande puissance. Cheminant, l'enfant force et dilate les matrices dans le passage, attendu qu'elles sont molles. Il chemine la tête en avant si les choses se passent naturellement; car, chez lui, les parties supérieures sont les plus lourdes, pesées à partir de l'ombilic. Étant dans les matrices, il prend plus de force pour la rupture des membranes, avec le dixième mois, quand l'accouchement approche pour la mère. Mais, si l'enfant éprouve quelque violence, les membranes se rompent, il sort même avant le temps fixé. Si la nourriture venant de la mère fait auparavant défaut à l'enfant, c'est encore une cause d'accouchement prématuré, et l'enfant sort avant dix mois. Mais toutes celles qui ont pensé avoir porté plus de dix mois (je l'ai mainte fois ouï dire), ont été induites en erreur de la façon que je vais expliquer : quand les matrices, prenant en soi de l'air venant du ventre qui le fournit, et se gonflent (cela en effet arrive quelquefois), alors les femmes croient être enceintes; ou bien, si les règles, n'allant pas, s'accumulent dans les matrices et restent supprimées pendant quelque temps, il se fait un flux continuel dans les matrices, tantôt avec l'air venant du ventre, tantôt par l'effet de l'échauffement, et alors encore les femmes

vulg. – δὲ om. EHKP'π. – χρόνων C. — [11] κακεῖναι K. – διελήθησαν vulg. – διελύθησαν HIKπ. – διελύθηταν (sic) Ald. – διεβλήθησαν CE (H in marg.) OP'Q', Zwing. in marg. – διεβήθησαν (sic) ξ. – Érot., p. 120, et Gal., dans le Gl., ont διεβλήθησαν, παρελογίσθησαν, ἐξηπατήθησαν; et Heringa montre que ce mot appartient à notre traité. – ἐρέειν (H, al. manu) π. – ἐρεῖν vulg. – εὑρεῖν δ. – λέγειν Cξ. — [12] ἐφ' ἑωυτὰς pro ἐς σφᾶς αὐτὰς E (H, al. manu) Kπ. – ἑωυτὰς pro σφᾶς αὐτὰς P'Q', Lind. – παρασχούσης EHK. – Post γὰρ addunt καὶ E (H, al. manu) P'Q'π, Lind. — [13] σφᾶς vulg. – σφὰς C. – σφέας E (H, al. manu). — [14] συσχεθῇ (EH, supra lin.) OP'Q'. – Ante ἀεὶ addunt καὶ Zwing. in marg., Lind. – αἰεὶ Lind., Mack. – διαῤῥέει Lind., Mack. — [15] τῆς om. J.

χέουσιν ἔχειν αἱ γυναῖκες, ἅτε τῶν καταμηνίων μὴ χωρεόντων καὶ τῶν μητρέων ἠρμένων· εἶτα ἔστιν ὅτε τὰ καταμήνια ἐῤῥάγη αὐτόματα, ἢ ἑτέρων ἐπικατελθόντων [1]ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεγκάντων τὰ πρότερα, καὶ ἡ φῦσα ἐξῆλθε, καὶ πολλῆσιν ἤδη εὐθὺς μετὰ τὴν τῶν καταμηνίων [2]κάθαρσιν αἱ μῆτραι ἔχανον καὶ κατὰ τὸ αἰδοῖον ἐστράφησαν, καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσιν ἔλαβον πρὸς σφᾶς τὸν γόνον αὐθήμερον ἢ ἅμα ὀλίγῃσιν ἡμέρῃσιν. Λογίζονται [3]δὲ αἱ γυναῖκες αἱ ἄπειροι τούτων τῶν λόγων καὶ τῶν πρηγμάτων κατ' ἐκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι καὶ αἱ μῆτραι ἠρμέναι ἐτύγχανον. Ὅτι [4]δὲ οὐκ ἐστὶ χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω· ἡ τροφὴ καὶ ἡ αὔξησις [5]ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα οὐκ ἔτι ἀρκεῦσα τῷ παιδίῳ ἐστὶν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ· ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον· ὁκόταν δ' αὐτῷ [6]σπανιώτερα ταῦτα γίνηται καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει καὶ τοὺς ὑμένας ῥήγνυσι. [7]Καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι· ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ ἐς τὸ ἀρκέσαι ἄχρι τῶν δέκα μηνῶν. Ἐπιλείπει δὲ [8]διὰ τρόπον τοιόνδε· εἰσὶ τῶν γυναικῶν, αἳ μὲν ἀρκέοντα τὰ καταμήνια ἀποκαθαίρονται, αἳ δὲ ἐλάσσονα· τοῦτο δὲ ἢν [9]ἀεὶ γίνηται, ἐν φύσει καὶ ἐν γένει μητρῷόν σφίν ἐστιν· αἱ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται καὶ τοῖσι παιδίοισι τοῦ χρόνου τὸ ὕστατον, ὅταν ἤδη ἁδρὸν [10]ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι,

[1] Ἀπὸ τ. σ. om. Cξ. – κατενεγκόντων H. – ἡ E (H, al. manu) KOP'Q'π, Lind. – ἡ om. vulg. – πολλῆσιν CEHILOπ, Lind., Mack. – πολλοῖσιν vulg. — [2] Heringa, trouvant dans Érot., p. 210, καταμηνίων λύσιν, qui doit, d'après l'arrangement suivi par le glossographe, appartenir à notre traité, pense qu'il faut lire ici λύσιν au lieu de κάθαρσιν, qui en serait une glose. – καὶ μιχθεῖσαι τότε Cξ. – Post ἀνδράσιν addunt αἱ γυναῖκες Cξ. – αὐθημερὸν ξπ. – ὀλίγοισιν C. — [3] δ' Cξ. – αἱ γυναῖκες CEFGHIJKOP' (Q', sine αἱ) ξ. – αἱ γ. om. vulg. – τούτων om. Lind. – κακεῖνον vulg. – κατ' ἐκεῖνον E (H, al. manu) Kπ. – αὐταῖσι C. – ἠργμέναι J. – ἦσαν Cξ. — [4] δ' Cξ. — [5] ἡ om. E (H, erasum) KXP', Mack. – ἀρκέουσα in marg. al. manu H. – αὐξηνθῇ (sic) H. – ἑωυτὸν J. – αὐτὸ pro ἑωυτὸ Cξ. — [6] σπανιώτερον EX. – σπανιότερα Zwing. – γίνεται C. – γένηται vulg. – ποθέων O. – ῥηγνύον ἀρχὴν ἀποκυήσιος παρέχει τῇ μητρὶ Lind., (Mack, τὴν ἀρχὴν ἀποκυήσιως sic) ex Gal. — [7] καὶ τῶν γ. αἱ πρωτοτόκοι τοῦτο πάσχουσι μᾶλλον Cξ. – πρωτότοκοι EH. – ἄχρι CEK.

s'imaginent être grosses, vu que les règles sont supprimées et les matrices gonflées. Puis, il arrive parfois que les règles font éruption spontanément, ou parce que d'autres règles descendent du corps à la matrice et entraînent les premières; de l'air sort, et souvent, aussitôt après l'écoulement des règles, les matrices étant devenues béantes et s'étant tournées vers les parties génitales, la femme, ayant eu des rapports avec son mari, a conçu le jour même ou peu de jours après. Or, les femmes qui ne sont pas au courant des ces raisonnements et de ces faits, calculent qu'elles sont enceintes du moment où les règles ont été supprimées et les matrices gonflées. Je vais dire pourquoi la grossesse ne dure pas plus de dix mois. La nourriture et l'accroissement fournis par la mère ne suffisent plus à l'enfant quand les dix mois sont passés, et qu'il a grandi. Il attire à soi la partie du sang la plus douce et il profite aussi un peu du lait. Quand ces sources deviennent trop peu abondantes, et qu'il a grossi, il désire plus de nourriture qu'il n'en a actuellement, il s'agite et rompt les membranes. Les primipares sont plus sujettes que les autres à ces accouchements prématurés; chez elles, la nourriture manque aux enfants pour les entretenir jusqu'aux dix mois. Elle manque de cette façon: il est des femmes chez qui la purgation mensuelle est suffisante, et d'autres chez qui elle est moindre; s'il en est constamment ainsi, cette condition leur est originelle, naturellement et spécialement (*voy. pour* γένος, quatr. Livre des Mal., § 34, p. 546, l. 25). Mais celles qui ont des menstrues en petite quantité fournissent une nourriture trop peu abondante aussi aux enfants, vers la fin du temps, quand il sont déjà forts; c'est qui les fait s'agiter et les

– ἄχρις (ἄχρι π) ἂν (ἂν om. CEP'ξπ, Mack; οὗ pro ἂν O) τῶν vulg. – Post μηνῶν addunt πρότερον CE (H, al. manu) Kξπ. — [8] ταύτησι διὰ τόδε pro διὰ τρ. τ. Cξ. – ταύτησι vel τόδε Zwing. in marg. – γυναικείων Ald. – γυναικῶν τινες (ἔνιαι E, H supra lin. al. manu, K) vulg. – τινὲς om. Cξ. – ἀποκαθαίρονται Cξ. – καθαίρονται vulg. – δ' ἦν ξ. — [9] αἰεὶ Lind., Mack. – Post ἀεὶ addunt μὴ E (H, al. manu supra lin.) K. – ἐν τῇ φύσει C. – σφίσιν E (H, al. manu) K. – τοῖσι CEHξπ, Mack. – τοῖς vulg. – ἁδρὸν Frob. — [10] εἴη EO. – Post ἔῃ addunt τὸ παιδίον E (H, al. manu) KOπ. – σπανιοτέρην C, Frob., Zwing. – ἐπείγεται P'Q', Lind., Mack. – ἐπείγεσθαι om. Cξ, Ald.

ποιέουσιν ἀσκαρίζειν καὶ πρόσθεν τῶν δέκα μηνῶν ἐξελθεῖν ἐπείγεσθαι· ὀλίγον [1] γὰρ ἀπ' αὐτέων χωρέει τὸ αἷμα. Ὡς δὲ [2] ἐπὶ τὸ πλεῖστον ξυμβαίνει καὶ ἀγαλάκτους μᾶλλον εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθιείσας· ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσιν. Τούτῳ δὲ τῷ λόγῳ ὅτι ἐπιλειπούσης τῆς τροφῆς, ἐξέρχεται τὸ ἔμβρυον, [3] ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, ἱστόριον τόδε ἐστί. Τὸ ὄρνεον γίνεται ἐκ τοῦ ὠοῦ [4] τοῦ χλωροῦ τρόπῳ τοιῷδε· ἐπικαθεζομένης τῆς μητρὸς θερμαίνεται τὸ ὠόν· καὶ [5] τὸ ἐν τῷ ὠῷ ἐνεὸν ἀπὸ τῆς μητρὸς κινέεται· θερμαινόμενον δὲ πνεῦμα ἴσχει [6] τὸ ἐν τῷ ὠῷ ἐνεὸν καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος διὰ τοῦ ὠοῦ· τὸ γὰρ ὠὸν ἀραιόν ἐστιν οὕτως ὡς πνοὴν ἑλκομένην ἀρκέουσαν διιέναι τῷ ἔνδον [7] ἐόντι. Καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ὠῷ, καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τε καὶ παραπλησίῳ [8] ὧπέρ καὶ τὸ παιδίον, ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. Γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ, τροφὴ δὲ καὶ αὔξησίς ἐστιν ἀπὸ τοῦ λευκοῦ τοῦ ἐν τῷ ὠῷ ἐόντος· [9] καὶ τοῦτ' ἤδη πᾶσιν ἐμφανὲς ἐγένετο ὁκόσοι προσέσχον τὸν νόον· ὁκόταν ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐκ τοῦ ὠοῦ, οὐκ [10] ἔχον ἀρκέουσαν ἀφ' ἧς ζήσεται, κινέεται ἰσχυρῶς ἐν τῷ ὠῷ, ζητέον τροφὴν πλείονα, καὶ οἱ ὑμένες περιῤῥήγνυνται, καὶ ὁκόταν ἡ [11] ὄρνις αἴσθηται τὸν νεοσσὸν κινηθέντα ἰσχυρῶς, κολάψασα ἐξέλεψεν· καὶ ταῦτα ξυμβαίνει γίνεσθαι ἐν εἴκοσιν ἡμέρῃσι. Καὶ ἐμφανές ἐστιν ὅτι ὧδε ἔχει· ὁκόταν γὰρ κολάψῃ τὸ ὄρνεον ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ὠοῦ, ὑγρὸν ἔνεστιν οὐδὲν ὅ τι καὶ ἄξιον λόγου· [12] ἐξανήλωται γὰρ ἐς τὸν νεοσσόν. Οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν· ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον ἀσκαρίζον ῥήγνυσι τοὺς ὑμένας, καὶ λυθὲν τοῦ δεσμοῦ χωρέει ὁμοῦ ἔξω· καὶ ταῦτα γίνεται ἐν δέκα μησὶ τὸ μακρό-

[1] Γὰρ om. (E, restit. al. manu) HJOπ. – ἀπ' αὐτέων Cξ, Zwing. in marg., Mack. – ἀπὸ τῶν νέων μητρῶν (μητέρων, E al. manu μητρῶν, P'Q', Lind.; μητρέων π) vulg. — [2] καὶ ἐπὶ vulg. – καὶ om. Cξ. – πλεῖον C. – μᾶλλον Cξ, Zwing. in marg., Merc. in marg. – μᾶλλον om. vulg. — [3] κἢν P', Mack. – αὐτὸ C. – μὴ αὐτῶ βίαιόν τι O. – καὶ ἱστόριον vulg. – καὶ om. Cξ. – ὄρνιον Cξ. – ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ K. — [4] τοῦ om. J. — [5] τὸ om. J. – ἀπὸ.... ἐνεὸν om. J. — [6] τὸ ἐν τῷ ὠῷ ἐν. om. O. — [7] ἐνεόντι C. – ἀρθροῦται C. — [8] ὧ περ H, Zwing. – ὥσπερ pro ᾧ περ vulg. – γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ τὸ ὄρνεον, τροφὴν δὲ καὶ αὔξησιν ἔχει (παρέχει Lind.) τὸ (τῶ H) λευκὸν τὸ ἐν τῷ ὠῷ vulg. – γίνεται δὲ (δ' ξ) ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ, τροφὴ δὲ καὶ αὔξη-

presse de sortir avant les dix mois ; en effet, le sang vient en petite quantité. Généralement aussi, les femmes qui ont peu de menstrues n'ont pas de lait ; elles sont trop sèches et de chair trop compacte. Je dis que c'est le défaut de nourriture qui amène la sortie de l'enfant, à moins qu'il n'ait été atteint de quelque violence ; en voici la preuve : l'oiseau provient du jaune de l'œuf de cette façon : sous la mère qui couve, l'œuf s'échauffe, et ce qui est dans l'œuf est mis en mouvement par la mère. Échauffé, ce qui est dans l'œuf a du souffle et attire, par une contre-attraction, un autre souffle froid venant de l'air à travers l'œuf ; car l'œuf est assez lâche pour laisser arriver, en suffisante quantité, au contenu, la respiration qui est attirée. L'oiseau croît dans l'œuf et s'articule d'une manière tout à fait semblable à l'enfant, comme je l'ai déjà dit précédemment. Il provient du jaune, mais il a son aliment et sa croissance dans le blanc. Pour s'en convaincre, il suffit d'y faire attention. Quand la nourriture provenant de l'œuf manque au petit, alors, n'ayant pas un aliment suffisant pour vivre, il s'agite fortement dans l'œuf, cherche plus de nourriture, et les membranes se rompent. La mère, s'apercevant que le petit se meut fortement, frappe et brise la coquille. Cela arrive en vingt jours. Et il est évident que les choses se passent ainsi ; en effet, quand la mère frappe la coquille, il n'y reste plus qu'une quantité insignifiante de liquide ; tout a été consommé pour le petit. De même, l'enfant, quand il a crû, la mère ne peut plus lui fournir une nourriture suffisante, il en cherche plus que ce qu'il en a présentement, il s'agite, rompt les membranes, et, débarrassé du lien, chemine incontinent au dehors. Cela arrive en dix mois au plus. De la même façon, chez les bestiaux et chez les animaux sauvages, le part se fait à une époque fixe

σίς ἐστιν ἀπὸ τοῦ λευκοῦ τοῦ ἐν τῷ ὠῷ ἐόντος Cξ, Merc. in marg., Zwing. in marg. — [9] καὶ τοῦτ' Cξ. – τοῦτο sine καὶ vulg. – ὁκόσοισι E. – προσέχον Ald. – τὸν νόον προσέσχον Cξ. – ὁκόταν δὲ vulg. – δὲ om. Cξ. — [10] ἔχων Mack. – C'est une conjecture de Foes. – ζητέων Mack. — [11] μήτηρ Cξ. – εἴσηται EFGHIJKOQ'π. – συμβαίνει Cξ, Mack. – ἡμέραις π. — [12] ἐξανήλλωται C. – ἐξανάλωται G, Ald.

τατον. Καὶ κατὰ τοῦτον τὸν λόγον καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρίοισιν ὁ τόκος παραγίνεται ἐν χρόνῳ ᾧ ἕκαστον τίκτει οὐ μακρότερον· ἑκάστῳ γὰρ τῶν ζώων ἀνάγκη [1] ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ σπανιωτέρη ἔσται τῷ ἐμβρύῳ καὶ ἐπιλείψει καὶ ὁ τόκος παρέσται· καὶ τὰ μὲν ἐλάσσω τροφὴν [2] τοῖσιν ἐμβρύοισιν ἔχοντα θᾶσσον τίκτει, τὰ δὲ πλείω ὕστερον. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. Τὸ [3] δὲ παιδίον, ὅταν περιῤῥαγῶσιν οἱ ὑμένες, ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπὴ, ῥηϊδίως τίκτει ἡ γυνή· ἢν δὲ πλάγιον ἢ ἐπὶ πόδας χωρήσῃ, γίνεται γὰρ [4] τοῦτο, ἢν οὕτως ἡ ῥοπὴ τύχῃ γενομένη ἢ ὑπὸ εὐρυχωρίης γε τῶν μητρέων, [5] ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον, κἢν οὕτω χωρέῃ, χαλεπῶς τέξεται ἡ γυνή· πολλαὶ δὲ ἤδη ἢ [6] αὐταὶ ὤλοντο, ἢ τὰ παιδία, ἢ ἅμα αἱ μητέρες καὶ τὰ ἐν αὐτῇσιν. [7] Ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι διὰ τὴν ἀπειρίην τῶν πόνων, [8] καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα, μάλιστα δὲ τὴν ὀσφύν τε καὶ τὰ ἰσχία· διίσταται γὰρ σφέων τὰ ἰσχία· αἱ δὲ μᾶλλον ἔμπειροι τόκων ἧσσον [9] πονέουσι τῶν πρωτοτόκων, αἱ δὲ πουλυτόκοι πάνυ ἧσσον πονέουσιν. Ἢν [10] δὲ ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρῶτον ἔξω χωρέει, ἔπειτα τἄλλα μέλεα ἑπόμενα, ὕστατος δὲ ὁ ὀμφαλός· [11] ἐκ δὲ τοῦ ὀμφαλοῦ τὸ χορίον τεταμένον ἐστίν. Μετὰ [12] δὲ ταῦτα ὕδρωψ ἔρχεται αἱματώδης ἀπό τε τῆς κεφαλῆς καὶ τοῦ ἄλλου σώματος, ἀποκριθεὶς [13] ὑπὸ βίης τε καὶ πόνου καὶ θέρμης, καὶ ὁδὸν ἀφηγήσατο τῇ τῶν λοχίων καθάρσει· μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος ἡ κάθαρσις γίνεται χρόνον τὸν πρόσθεν εἰρημένον. Καὶ οἵ τε μαζοὶ καὶ τἄλλα μέλεα ὁκόσα ὑγρότερά ἐστι, καταῤῥήγνυται τῶν γυναικῶν, ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ, ἔπειτα δὲ, ὡς ἂν πλειόνων πειρέωνται τόκων, ἔτι μᾶλλον [14] καταῤῥήγνυται διακενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

[1] Ἐπὶ pro ἐστὶ EFGHJKπ. – ἐμβρίῳ C. — [2] ἐν τοῖσιν vulg. – ἐν om. C. – μοι om. C. — [3] δὴ Zwing. – κρατήσῃ G, Ald. – πόδες Ald. — [4] τοῦτο Cξ. – οὕτω πολλάκις pro τοῦτο vulg. – γε Cξ. – γε om. vulg. — [5] ἢ om. Cξ. – τῷ pro τῇ J. – ὀδίνι (sic) C. – χωρέει Mack. — [6] αὗται H, Zwing., Frob. – αἱ μητέρες καὶ τὰ ἐν αὐτῇσιν om. Cξ. — [7] τίκτουσαι δὲ αἱ (αἱ om. ξ) γυναῖκες pro ἐκ δὲ τῶν τικτουσῶν Cξ, Mercur. in marg., Zwing. in marg. – πρωτότοκοι EH. — [8] καὶ μάλιστα πονέουσι μὲν τὴν ὀσφὺν τὲ καὶ τὰ ἰσχία, πονέουσι δὲ καὶ πᾶν τὸ σῶμα Cξ. — [9] πονέονται (bis) Cξ. – πουλύτοκοι (sic) C. – πουλυτόκοι ξ. – πολυτόκοι vulg. – πολύτοκοι π. – πάνυ om. Cξ. — [10] δ' Cξ. – κεφαλῆ

pour chaque espèce, sans la dépasser; car nécessairement, chez tout animal, il est un temps où la nourriture sera trop peu abondante pour le petit, fera défaut et où le part surviendra. Et ceux qui ont moins de nourriture pour les fœtus mettent bas plus tôt, et ceux qui en ont davantage, plus tard. Voilà ce que j'avais à dire là-dessus. Quant à l'enfant, lorsque les membranes se rompent, si le mouvement par la tête l'emporte, la femme accouche facilement; mais, s'il se présente de côté ou par les pieds (cela arrive en effet), si le mouvement est tel, soit par l'amplitude des matrices, soit parce que la mère, dans les douleurs, n'a pas gardé d'abord le repos, si, dis-je, la présentation est de la sorte, la femme accouche difficilement; et maintes fois les mères ont succombé, ou les enfants, ou à la fois les mères et les enfants. Des femmes qui accouchent, celles qui souffrent le plus sont les primipares, parce qu'elles n'ont pas encore éprouvé ce genre de souffrances. Elles souffrent dans tout le corps, mais surtout aux lombes et aux ischions; car les ischions se disjoignent. Mais celles qui ont déjà accouché souffrent moins que les primipares, et celles qui ont accouché plusieurs fois, souffrent beaucoup moins. Si l'enfant va par la tête, la tête sort la première, puis les autres parties suivent, et l'ombilic sort le dernier; et à l'ombilic tient le chorion. Après, s'écoule une humeur sanguinolente venant de la tête et du reste du corps, laquelle est exprimée par la violence, le travail et la chaleur, et qui ouvre la voie à l'évacuation lochiale. Après l'issue de cette humeur, la purgation lochiale se fait pendant le temps indiqué plus haut. Les mamelles et toutes les parties où l'humidité abonde chez les femmes, se relâchent, moins dans le premier accouchement, puis de plus en plus à mesure que les accouchements se multiplient; ce relâchement s'opère par la vacuité des veines

J. – εἴη O. – τὰ ἄλλα Cξ. — [11] ἐκ τοῦ δ' ὀμφαλοῦ CEHOξπ. – χορίον CIJ, Zwing. in marg., Lind., Mack. – χόριον ξπ. – χωρίον vulg. – τεταγμένον Codd. mss. ap. Foes in not. — [12] δὴ H. – ὕδροψ H. — [13] ἀπὸ H. – ἐν τῇ τῶν EFGHIJKOP'Q', Lind. – τῶν λοχίων τῇ καθάρσει Cξ. — [14] καταῤῥήγνυνται EHJKO. – διακενεομένων H. – καθάρσηος Cξ. – λοχείων J.

31. Δίδυμα δὲ [1]γίνεται ἀφ' ἑνὸς λαγνεύματος οὕτως· ἔχουσιν αἱ μῆτραι κόλπους συχνοὺς καὶ γαμψοὺς, τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τοῦ αἰδοίου· καὶ τὰ πουλύγονα τῶν ζώων πλείους ἔχει [2]κόλπους τῶν ὀλίγα κυεόντων· ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία τε καὶ ὄρνεα. Ὅταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα [3]εἰς δύο κόλπους ἀφικομένη καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν, [4]καὶ τοῖν κόλποιν μηδέτερος ἐς τὸν ἕτερον χαλάσῃ, [5]χωρισθεῖσα δὴ ἐν ἑκατέρῳ κόλπῳ ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ [6]ᾧπερ καὶ τὸ ἓν εἴρηται. Ὅτι δὲ ἀφ' ἑνὸς λαγνεύματος δίδυμα γίνεται ἱστόριον τόδε ἐστὶ, κύων καὶ ὗς καὶ ἄλλα ζῶα [7]ὅσα ἀφ' ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, καὶ ἕκαστον τῶν ζώων ἐν τῇσι μήτρῃσιν ἐν κόλπῳ καὶ ὑμένι ἐστὶ, καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα, καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπιτοπλεῖστον. Ὧδε δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς [8]μίξιος γινόμενα τὰ παιδία ἑκάτερον ἐν κόλπῳ [9]καὶ χορίῳ ἐστὶ, καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, καὶ πρότερον θάτερον χωρέει ἔξω καὶ τὸ χορίον αὐτοῦ. Ὅτι δὲ θῆλυ καὶ ἄρσεν δίδυμα [10]γίνεται, φημὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ καὶ ἐν παντὶ ζώῳ ἑκάστῳ γονῆς ἐνεῖναι καὶ ἀσθενέστερον καὶ ἰσχυρότερον· καὶ οὐκ ἐς ἅπαξ χωρέει ἡ γονὴ, ἀλλὰ καὶ ἐς δὶς καὶ τρὶς ἀποβράσσεται· καὶ οὐκ ἀνυστὸν [11]ἀεὶ ὁμοίως εἶναι πᾶν ἰσχυρὸν, τό τε πρόσθεν ἐξιὸν καὶ τὸ ὕστερον. Ἐς ὁκότερον [12]ἂν οὖν τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσιοῦσα, κεῖθι ἄρσεν γίνεται· ἐς ὁκότερον δ' [13]αὖ ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖθι θῆλυ γίνεται· ἢν [14]δ' ἐς ἄμφω ἰσχυρὴ ἐσέλθῃ, ἄμφω ἄρσενα

[1] Γίνεται Cξ. – γίνονται vulg. – Ante ἀφ' addit μὲν C. – οὕτως om. Cξ. – ἔχουσι δὲ κόλπους καὶ γαμψοὺς αἱ μῆτραι συχνοὺς Cξ. – γραμψοὺς J. – πλησιετέρω C. – πουλύγονα C. – πολύγονα vulg. — [2] κόλπους om. Cξ. – κυόντων π. — [3] ἐς Lind. – ἀπικομένη Cξ. — [4] καὶ τοῖν κόλποιν Cξ. – καὶ τοῖν κόλποιν τε Zwing. in marg., Mercur. in marg. – οἱ κόλποι τε vulg. – μηδ' ἕτερος ἐς τὸν ἕτερον C (ξ, κόλπον). – μὴ ἕτερος πρὸς τὸν ἕτερον vulg. – χαλάσσῃ C. – χανώσῃ Zwing. in marg., Mercur. in marg., Mack. — [5] ἡ χωρ. vulg. – ἡ om. C. – δὴ Cξ, Zwing. in marg., Mercur. in marg. – δὴ om. vulg. — [6] ὥσπερ Mack. – εἴρηται Cξ. – οὗ εἵνεκεν εἴπομεν pro εἴρηται vulg. – δ' C. – γίγνεται ξ. — [7] ἐστιν ἅσσα pro ὅσα Cξ. – Post ἐστὶ addit τινὶ EK, Zwing. in marg., Merc. in marg. – ὁρέωμεν Zwing. – ἐρέομεν CJ. – γενόμενα EHI. – τίκτει πάντα O. – πάντα om. K. – ὡς ἐπὶ τὸ πλεῖον C. — [8] μίξηος Cξ. – μίξεως Hπ. — [9] καὶ ἐν Cξ. – χορίω FIOξπ, Lind., Mack. – χωρίῳ vulg. – ἡμέρα Eπ. – θάτερον om., restit. al. manu E. – Ante τὸ addunt ἐς EKP'Q', Lind. – χορίον CEFGJ, Zwing. in marg., Lind., Mack. – χωρίον vulg. – χόριον π. — [10] γίνεται, αἴτιόν φημι· ἐν δὲ τῇ γυναικὶ Lind. – ἐνεῖναι Zwing. in marg., Merc. in

qu'amène la purgation lochiale. Voilà ce que j'avais à dire là-dessus.

31. (*Jumeaux.*) Les jumeaux naissent d'un seul coït, de cette façon : Les matrices ont des sinus multiples et recourbés, les uns plus loin, les autres plus près des parties génitales. Les animaux qui portent beaucoup de petits ont plus de sinus que ceux qui en portent peu. Il en est ainsi chez les brebis, les bêtes sauvages et les oiseaux. Quand la semence se trouve partagée, étant arrivée à deux sinus, et que les matrices l'ont reçue sans que l'un des sinus se lâche dans l'autre, alors la semence s'enveloppe d'une membrane et se vivifie séparément dans l'un et l'autre sinus, comme il a été dit pour un seul embryon. Que les jumeaux viennent d'un seul coït, la preuve en est fournie par la chienne, la truie et autres animaux qui mettent bas deux ou plusieurs petits par un seul accouplement; et chacun des petits dans les matrices occupe un sinus et a une membrane. De ce fait, nous en sommes journellement témoins, et les petits sont généralement tous mis au monde le même jour. De même, chez la femme, les jumeaux produit d'un seul coït ont chacun un sinus et un chorion, naissent tous deux le même jour, et celui qui sort le premier sort avec son chorion. Fille et garçon peuvent être jumeaux; je dis en effet que chez la femme, chez l'homme et chez tout animal, il y a de la semence plus faible et de la semence plus forte, et la semence ne va pas d'un seul coup, mais elle est émise à deux et trois reprises. Il n'est pas possible non plus que le tout soit toujours également fort, aussi bien ce qui sort en premier lieu que ce qui sort en dernier. Donc, dans le sinus où pénètre la semence la plus épaisse et la plus forte, là se forme l'enfant mâle; et, réciproquement, dans le sinus où pénètre la semence la plus humide et la plus faible, là se forme l'enfant femelle. Si une semence

marg. - ἐνῆναι Cξ. - ἔνι Eπ. - ἐνῇ vulg. — [11] αἰεὶ Lind. - ἂν pro ἀεὶ Ald. - ὅμοιον CEFGHIJKP'ξπ, Mack. — [12] δ' ἂν CEHKξπ. - οὖν om. CE (H, restit. al. manu ante ἂν) IJKπ. - ἡ om. Lind. - εἰσελθοῦσα C, Zwing. in marg., Merc. in marg. - ἐπελθοῦσα ξ. — [13] ἂν Cξ. — [14] δ' om. Cξ. - ἐς om. HIJKO. - ἐσέλθῃ CHξ, Lind. - εἰσέλθῃ vulg.

γίνεται· ἢν δὲ ἀσθενὴς [1]ἐς ἄμφω, ἄμφω θήλεα γίνεται. Οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας τέλος ἔχει.

32. Τοῦ ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς [2]ἐλθὸν τὸ σπέρμα καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν ἐπάγη· χρόνου δὲ γενομένου φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. Ἔχει δὲ καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ [3]τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνεται· αὗται δὲ αἱ ἰδέαι εἰσὶ φλέγμα, [4]αἷμα, χολὴ, καὶ ὕδρωψ, καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα οὐκ ἐλάχιστον οὐδὲ ἀσθενέστατον συνέρχεται, καὶ ἐπειδὴ τὸ ζῶον ἐγένετο, κατὰ [5]τοὺς τοκῆας τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε καὶ νοσεροῦ ἔχει ἐν ἑωυτῷ. Ἀποφανέω δὲ [6]ὅκως ἐν ἑκάστῃ τουτέων τῶν [7]ἰδεῶν καὶ πλείω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται, καὶ [8]ὑπὸ τούτου νοσέουσι, καὶ ὅτι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ [9]ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασμένη τὴν νοῦσον ἐπάγει, καὶ ὑπὸ [10]τὸ αὐτὸ ῥῖγος πυρετῶδες γίνεται, καὶ [11]διὰ τί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό.

33. Ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ καὶ τὸ αἷμα καὶ ὁ

[1] Ἐς ἄμφω om. Cξ. – ἐς om. π. – εἰρημμένον Ald. — [2] ἐλθὼν J. – πεσὼν J. – Je me suis décidé à réunir ce morceau avec le précédent. Le préambule montre qu'ils sont la suite l'un de l'autre. La transition est manifeste : *La semence.... étant tombée dans les matrices, s'est coagulée.* J'avais été longtemps empêché de faire cette réunion par les derniers mots du livre de la Nature de l'enfant : οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας τέλος ἔχει. Ces mots me semblaient clore le morceau et indiquer véritablement une fin. Mais depuis j'ai remarqué, dans l'intérieur même du Quatrième livre des Maladies, une phrase toute semblable, p. 578, l. 7 : οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται. Cette formule indique donc, non pas une fin de traité, mais le passage d'un objet à un autre. Dès lors, cet empêchement matériel étant écarté, la liaison intrinsèque a repris toute sa valeur; et je n'ai plus hésité à recomposer dans sa totalité l'ouvrage se suivant ainsi : περὶ γονῆς, περὶ φύσιος παιδίου, περὶ νούσων τὸ τέταρτον. Je suis même porté à penser que ce démembrement n'est pas fort ancien et qu'il n'existait pas soit pour Galien soit pour Érotien. Ni Érotien ni Galien ne citent ce Quatrième livre des Maladies; et cependant c'est un ouvrage qui très-certainement a fait partie de la Collection hippocratique dès la plus haute antiquité. Ce silence s'expliquerait en admettant que ce prétendu Quatrième livre faisait corps avec le livre de la Génération de l'enfant. Érotien ne cite pas non plus le Περὶ γονῆς, et cela par une raison semblable; c'est que, de son temps, le Περὶ γονῆς n'avait pas été séparé du Περὶ φύσιος

forte arrive dans les deux sinus, les deux jumeaux sont mâles; si une semence faible arrive dans les deux, les deux jumeaux sont femelles. Ici prend fin tout ce discours que j'ai entrepris.

32. (*Le corps est constitué par quatre humeurs qui se transmettent, par la semence, d'individus en individus. Explication des maladies par le dérangement de ces quatre humeurs.*) La semence (*voy. note* 2), venant pour la formation de l'être humain de toutes les parties du corps de l'homme et de la femme, et étant tombée dans les matrices, s'est coagulée : au bout d'un certain temps, il en est résulté une nature humaine. La femme et l'homme ont en soi quatre espèces de liquide, qui engendrent les maladies, sauf celles qui proviennent de violences. Ce sont le phlegme, le sang, la bile et l'eau. De ces humeurs, ce n'est ni la moindre ni la moins active portion qui va dans la semence; et, quand l'être vivant est formé, il a, conformément à ses parents, autant d'espèces de liquide sain et morbide. J'indiquerai comment, pour chacune de ces espèces, survient dans le corps excès et défaut, dérangement qui cause les maladies; que les maladies se jugent dans les jours impairs; quels sont les principes des maladies, et quels effets chacune de ces humeurs produit dans le corps pour amener la maladie, point auquel le frisson fébrile se manifeste, et pourquoi la chaleur y succède.

33. (*Comment les quatre humeurs sont en excès ou en défaut. Quatre sources dans le corps : la tête, le cœur, la rate et la vésicule hépatique. Ces sources prennent et donnent.*) Je commencerai par expliquer comment la bile, le sang, l'eau et le

παιδίου.—[3] τεσσαρα ἴδεα (sic) FGJK (εἴδεα L, Lind.) (ἰδέα sic Ald.).-ὑγροῦ τέσσαρα εἴδεα EHv. - αἱ EGHIKv. - αἱ om. vulg. - νοσήματα E.- νοσεύματα Hv.-γίνεται v.-γίνονται vulg.-γίνωνται Frob. —[4] καὶ αἷμα EHv. - ὕδροψ IJK. - ὕδωρ EH, Merc. in marg.-εἲς IJ.-ἀσθενέστερον J.-ἐπειδεὶ E.-ἐπειδὰν Lind., Mack. —[5] τοὺς EHIKL, Lind., Mack.-τοκέας, al. manu τοκῆας H.-τοκυῖας (sic) J.-τοκείας quædam exempl. ap. Mack.-νοσηροῦ GIJK, Frob. —[6] ὁκόσα vulg.-Je lis ὅκως; voy. quelques lignes plus bas. —[7] ἰδέων (sic) K.-εἰδέων L, Lind. —[8] ὑπὸ τοῦ K', Mack. —[9] ὁκοίη EHv. —[10] τοῦ pro τὸ K', Foes in not., Mack.-τὸ pro αὐτὸ K'. —[11] διατὶ G.-διότι EH.-τὸ om. J.

[1]ὕδρωψ καὶ τὸ φλέγμα πλέονα καὶ ἐλάσσονα γίνεται, ἀπὸ τῶν βρωμάτων καὶ τῶν πομάτων τρόπῳ τοιῷδε· ἡ κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα· κενεὴ δὲ γενομένη ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. Εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες, ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα, [2]ἐπὴν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπὴν κενῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται· ἕλκει δὲ [3]καὶ αὐτὸ τὸ σῶμα, ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ· τῷ μὲν δὴ αἵματι ἡ καρδίη πηγή ἐστι, τῷ δὲ φλέγματι ἡ κεφαλὴ, τῷ δὲ ὕδατι ὁ σπλὴν, τῇ δὲ χολῇ τὸ χωρίον τὸ [4]ἐπὶ τῷ ἥπατι. Αὗται αἱ τέσσαρες τουτέοισίν εἰσι πηγαὶ ἄνευ τῆς κοιλίης· [5]τουτέων δέ εἰσι κοιλόταται ἡ κεφαλὴ καὶ ὁ σπλήν· εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν· ἀλλὰ περὶ τούτου [6]ὀλίγῳ ὕστερον ἀποφανέω κάλλιον. Ἔχει δὲ καὶ τόδε ὧδε· ἐν τοῖσι βρωτοῖσι [7]καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι καὶ χολῶδεός τι καὶ ὑδρωποειδέος καὶ αἱματώδεος καὶ φλεγματώδεος, τῇ μὲν πλέον, τῇ δὲ ἔλασσον· διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν [8]ὑγιείην· καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. Ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς [9]ἑωυτὸ ἐκ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης, καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, [10]καὶ διαδίδωσι τῷ σώματι, ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην.

34. Ἔχει γὰρ ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναρίθμους. Ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ, οἷον καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει, καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, [11]οἷόν περ καὶ αὐτό ἐστι· τό τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς [12]ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, [13]καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην,

[1] Ὕδροψ IJ. – πλέονα E. – πλείονα vulg. – ποτῶν EHQ'ν, Lind. – εἰς EIJK. — [2] ἐπὴν οὖν vulg. – οὖν om. J. – Excellente correction, donnée par un ms. qui d'ordinaire est fort mauvais. — [3] καὶ om. Mack. – τι (τοι E) ἡ κοιλίη EHν. – ἔχῃ τι K. – ἔχει ν. — [4] ἐν LP', Mack. — [5] ἀπὸ (ἀπὸ om. ν) τούτων (τουτέων EH) vulg. — [6] ὀλίγω K. – ὀλίγον vulg. – τόδε EGIJν, Ald., Lind. – τότε vulg. – ὧδε EHQ'ν, Lind. – οὕτως vulg. — [7] καὶ ἐν K. – ὑδροποειδέος IK. — [8] ὑγιείην EH. – ὑγείην vulg. – εἰς I. — [9] ἑωυτὸν ν, Frob. – ἀπὸ pro ἐκ EH, Lind., Mack. – αἱ om. FGHIJK, Ald. — [10] καὶ.... ὁμοίην om. K. – διαδίδοσι J. – δίδωσι Ald. — [11] οἵην περ Q'. — [12] ἥτις ἐν τῇ γῇ ἰκμὰς τοιαύτη ἔνεστι pro ἰκμ.... ἐστὶ EFHIJ. — [13] καὶ.... ἐστὶ ponitur post ἕκαστον p. 546, l. 2, G. – καὶ.... ἐστὶ om. JK.

phlegme sont en excès ou en défaut ; c'est par le fait des aliments et des boissons, de cette façon : le ventre, étant plein, est pour le corps la source de toute chose ; mais, étant vide, il profite aux dépens du corps qui se fond. De plus, il y a quatre autres sources d'où chaque humeur arrive au corps ; elles puisent au ventre, et, quand elles sont vides, elles puisent au corps, qui, lui-même, puise au ventre quand le ventre a quelque chose. Ces sources sont pour le sang le cœur, pour le phlegme la tête, pour l'eau la rate, pour la bile la partie qui est au foie. Telles sont les quatre sources de ces humeurs, indépendamment du ventre. De ces sources, les plus creuses sont la tête et la rate ; c'est là en effet qu'est le plus d'espace ; mais, un peu plus loin, je m'expliquerai mieux là-dessus. Or, voici comment sont les choses : les aliments et les boissons renferment tous du bilieux, de l'aqueux, du sanguin et du phlegmatique, les uns plus, les autres moins. C'est pour cela qu'ils diffèrent les uns des autres, relativement à la santé ; je n'en dirai pas plus là-dessus. Quand on a mangé ou bu, le corps attire à soi, hors du ventre, l'humeur dont il a été parlé, et les sources puisent au ventre par les veines, l'humeur semblable attirant la semblable et se distribuant dans le corps. C'est ainsi que dans les végétaux l'humeur semblable prend en terre l'humeur semblable.

34. (*Comparaison entre la terre et le corps humain. Chaque végétal puise dans la terre des substances qui lui sont appropriées ; de même chaque humeur du corps puise dans les aliments et les boissons ce qui lui est congénère.*) En effet, la terre a en soi des qualités de toute nature et innombrables. A tout ce qui croît, elle fournit une humeur respectivement semblable, telle que celle qui est d'origine dans le végétal ; et chaque végétal puise dans le sol un aliment semblable à lui-même. En effet, le rosier prend à la terre une humeur telle qu'il est lui-même en qualité ; l'ail prend à la terre une humeur telle qu'il est lui-même en qualité ; en un mot, tous les végétaux prennent à la terre une humeur spéciale ; s'il en était autrement, ils ne

[1] οἶόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τἄλλα πάντα τὰ φυόμενα ἕλκει ἐκ τῆς γῆς καθ' ἑωυτὸ ἕκαστον· εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγένετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν. Ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ [2] πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. Ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, [3] ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο· παρέχει δὲ νοηθῆναι [4] ὅτι, εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν· ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος [5] τοῦ ἡλίου καὶ τῶν ὡρέων οὐ κάκιστα κέεται, ὥστε δύνασθαι ἐξαρκέειν τοῖσι φυομένοισι τὸν ἥλιον· ἀλλ' ὅμως οὐ δυνατὸν, πολλῶν ἤδη πειρασαμένων, οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ σίλφιον φῦναι· ἐν δὲ τῇ Λιβύῃ αὐτόματον φύεται· οὐ γάρ ἐστιν [6] οὔτε ἐν Ἰωνίῃ [7] οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. Ὅτι δὲ πολλὰ καὶ ἄλλα, ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται, [8] παρέχει καὶ τοῦτο σκέψασθαι ὃ μέλλω ἐρέειν, ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος· ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν ἥτις τὸν οἶνον ἡδὺν παρέξει, ἔνθα δὲ οὔ. Ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα, μεταρθέντα [9] δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕροις ἔτι φυόμενα· οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι [10] τοιαύτην ἰκμάδα οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέσχεν. Ἐστὶ γὰρ [11] αὐτοῖσι τὰ μὲν ἰωδέστερα, τὰ δὲ ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα, ἄλλα δ' ἄλλως ἔχει μυρία· μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι, καὶ διὰ ταῦτα τὰ γένεα ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, [12] ὅ τι μὴ συγγενές. Ἄγρια δέ μοι δο-

[1] Οἵαν E. – τὰ ἄλλα E. – ἐγίνετο GHIJK, Ald., Lind. — [2] πλέον EGJK. — [3] ἣν J. – ξυγγ. Lind. — [4] ὅτι om., restit. al. manu E. – ἣν μὴ ἔχῃ EH. – ἔχοι K. – πελοπόνησος (E, al. manu νν) JK, Ald., Frob. — [5] ὑπὸ τοῦ Mack ex Æm. Porto. – ἡλίου τῶν ὡρέων (ὡραίων E; ὡρέων, al. manu ὡραίων H; οἱρέων sic J; ὀρέων GK) οὐχ ἥκιστα καίεται (addit τῆς λιβύης K) vulg. – ἡλίου καὶ τῶν ὡρέων οὐ κάκιστα κέεται Coray, de A. A. et L., 2, 399, Paris, 1800. – J'adopte cette conjecture de Coray. – ἐξαρκέειν EHν. – ἐξαρκεῖν vulg. – πολλὸν Frob. – πειραζομένων vulg. – πειρασαμένων Coray, ib. – πελοπονήσω JK, Ald., Frob. – φῦσαι vulg. – φῦναι EFHJν, Lind. – φύναι K. – φῆσαι Merc. in marg. — [6] οὔτε om. EH. – ἐν τῇ H. — [7] οὐδὲ H. – πελοπονήσω GJK, Ald., Frob. — [8] Post π. addit δὲ Hν. – καὶ om., restit. al. manu H. – ὅ τι pro ὃ EHν. – Post ὁκόσον addit [δὴ] Lind. — [9] δ' EH. – ὀργύην J. –

deviendraient pas semblables à leur graine. Le végétal a-t-il dans la terre une quantité beaucoup trop grande de l'humeur qui lui est affine, il devient malade; en a-t-il moins qu'il ne faut, il se dessèche. Si, tout d'abord, il n'avait pas l'humeur qu'il puise et qui lui est affine, il ne pourrait même germer. Voici un exemple qui prouve que le végétal privé de l'humeur qui lui est naturelle ne germe pas : l'Ionie et le Péloponèse ne sont pas assez mal situés, par rapport au soleil et aux saisons, pour que l'astre ne suffise pas à la production des végétaux; cependant, il a été impossible, malgré de nombreux essais, de faire venir dans l'Ionie et le Péloponèse le silphion, qui vient spontanément en Libye; c'est qu'il n'y a ni en Ionie ni dans le Péloponèse une humeur propre à l'alimenter. Il est bien d'autres médicaments qui, malgré la suffisance du soleil, ne peuvent être nourris par certains pays, et qui naissent spontanément en d'autres; ce que je vais dire le démontrera; faites attention combien des localités très-voisines diffèrent entre elles pour la douceur du vin, bien que le soleil y ait la même puissance; c'est qu'ici est dans la terre l'humeur qui rendra doux le vin, et là non. Il est aussi des sauvageons en bon nombre qui, transplantés à la distance d'une orgyie (*orgyie* = 1 mètre,8) seulement de la localité où ils sont, ne viennent plus : le nouveau sol ne fournit pas au végétal transplanté l'humeur que l'ancien sol fournissait au végétal sauvage. En effet, dans ces végétaux, sont des qualités les unes plus vireuses, les autres plus humides, les autres plus douces, les autres plus sèches, les autres plus âpres; et ainsi de suite, mille variétés. Car la terre a mille qualités; c'est en raison de ces spécialités, qu'à l'origine aucun végétal ne fut produit semblable à l'autre, si ce n'est ceux qui étaient de même race. Tous me paraissent être sauvageons; seulement les hommes les ont transformés en végétaux

ὀργίην K. – εὕροις EHK. – εὕρῃς vulg. — [10] τὴν αὐτὴν E. – παρέσχειν Mack. — [11] αὐτῇσι J. – δ' Mack. – ἀλλὰ Mack. – ἄλλα δὲ [καὶ] Lind. – ἄλλα δ' ἄλλως ἔχει μυρία EHv. – ἄλλα δὲ μυρία ἄλλως ἔχει vulg. — [12] ὅ τι H. – ὅτι vulg. – συγγενέες E. – πάντα ταῦτα H.

κέει ταῦτα πάντα εἶναι· ἄνθρωποι δὲ [1]αὐτὰ ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον· ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ [2]τούτοισιν αὔξεται καὶ τρέφεται, καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. Ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν [3]ἐς ἑωυτὸ πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς· ἐν παντὶ δέ ἐστί [4]τι φλεγματώδεος καὶ αἱματώδεος· ἀνάγκην οὖν τῷδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ [5]τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων ἕλκει τὸ σῶμα κατὰ τὰς πηγὰς ἃς ὠνόμασα, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν.

35. Σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει [6]ἕκαστον κατὰ τὰ εἰρημένα, καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. Ἐπήν τις φάγῃ τυρὸν ἢ ὅ τι ἐστὶ δριμὺ, ἢ ἄλλο τι φάγῃ ἢ πίῃ ὅ τι ἐστὶ φλεγματῶδες, αὐτίκα οἱ ἐπιθέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, καὶ τοῦτο οὕτως γινόμενον πάντες ὁρέομεν· τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. Φημὶ δὲ ὁκόσον ἐν τῷ βρώματι [7]ἢ πόματι φλεγματῶδες ἔνι, κείνου ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν [8]τὸ σῶμα ἕλκει ἐς ἑωυτὸ, τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα καὶ ὥσπερ σικύη ἐπικειμένη ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν· ἕπεται δὲ [9]τοῦτο τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν· τὸ μὲν νέον φλέγμα τὸ [10]γεννώμενον ἐκ τοῦ βρώματος μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν, ὁκόσῳ πλεῖον [11]τὸ νέον, ὑπ' ἐκείνου [12]βιώμενον ἐξέρχεται, καὶ διὰ τοῦτο ἐπήν τις φάγῃ ἢ πίῃ ὅ τι φλεγματῶδες, ἀποχρέμπτεται ὁ ἄνθρωπος φλέγμα. Ἔχει δὲ καὶ τόδε οὕτως, ἢν, φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου ὅ τι ἐστὶ φλεγματῶδες, μὴ ἐξέλθῃ πάλιν ἐν ὅσῳ πλέον ἐγένετο, μήτε κατὰ τὸ

[1] Αὐτὰ EH. – ταῦτα vulg. — [2] τούτῳ P', Mack. — [3] ἐν ἑωυτῷ vulg. – Je pense qu'il faut lire ἐς ἑωυτό. Voy. plus bas, l. 17. — [4] καὶ pro τι (E, restit. al. manu) H. – βρωτῶν EHv. — [5] τῶν om. E. – πομάτων J. – αὐτὰς vulg. – καὶ τὰς EFHIJKLP'Q'v. – εἰς αὐτὰς vel κατ' αὐτὰς legendum censet Foes. – ἐς αὐτὰς Mack. – κατὰ τὰς K'. – κατὰ πηγὰς Lind. – C'est κατὰ τὰς qu'il faut lire, ainsi que l'indique la leçon des manuscrits καὶ τὰς, faute qui n'est pas rare pour κατά. — [6] ἕκαστα EP'. – φράσσω E. – ἑωρῶμεν vulg. – ὁρέομεν EHv. — [7] ἢ τῷ π. K. – ἐνῇ vulg. – Lisez ἔνι. — [8] τὸ al. manu J. – τὸ om. vulg. – ἕλκει om., restit. al. manu post ἑωυτὸ E. — [9] τοῦτο EH. – τούτῳ vulg. – δι' ἑτέρου EHv. – τοῦ om. FGI, Ald. – εἰς E. – ὡς pro ἐς J. — [10] ἐγγενώμενον EHP'Q', Lind., Mack. – ἀπὸ τοῦ βρ. EHKP'Q', Lind., Mack. – ἐκ (διὰ J) βρ. vulg. – ἐς τὴν κεφαλὴν FGIJK. — [11] τε pro τὸ J. — [12] βιαζόμενον J. – πίῃ ἢ φάγῃ H. – ἢ πίῃ om. FGIJK. – ὁ ἄνθρωπος HP'Q'v. – ὁ ἄνθ. om.

cultivés, et leur ont fait porter des fruits selon leur graine respective. En effet, l'humeur semblable puise à la terre l'humeur semblable; d'où, croissance et nourriture; et, aucun végétal ne tirant de la terre une humeur ni égale ni semblable, aucun non plus ne ressemble à l'autre. Chacune des productions terrestres employées en aliment et en boisson prend pour soi à la terre beaucoup de qualités; dans tout, en effet, il y a quelque chose de phlegmatique et de sanguin. J'ai mis l'exemple de cette condition nécessaire à côté de celui du corps, qui, des aliments et des boissons reçus dans le ventre, attire aux sources que j'ai nommées l'humeur semblable par la semblable, à travers les veines.

35. (*Origine du phlegme dans le corps; causes de l'augmentation de cette humeur.*) Je vais indiquer un autre signe montrant que chaque chose tire de la façon susdite, et en même temps je dirai d'où le phlegme vient dans le corps. Quand on a mangé soit du fromage, soit quelque aliment âcre, ou qu'on a mangé ou bu quelque autre chose phlegmatique, aussitôt cela revient à la bouche et aux narines; c'est un fait dont nous sommes tous témoins. Et en voici la cause, sans doute : Je dis que ce qu'il y a de phlegmatique dans l'aliment ou la boisson, allant au ventre, est attiré, partie par le corps, partie par la tête qui, creuse et superposée comme une ventouse, pompe le phlegme qui est visqueux. Le phlegme suit de proche en proche jusqu'à la tête. Le nouveau phlegme, celui qui est le produit de l'aliment, demeure dans la tête; mais l'ancien, justement en proportion de la quantité du nouveau, sort par la pression qu'il en éprouve; et c'est pourquoi, quand on a mangé ou bu quelque chose de phlegmatique, on crache du phlegme. Voici encore ce qui arrive : Si, après avoir mangé ou bu quelque chose de phlegmatique, il ne sort pas du phlegme, d'autant plus qu'il s'en est fait davantage, par la bouche ou par les narines, nécessairement ce phlegme restera dans la tête, ou ira de la

vulg. – ἐξέλθοι vulg. – Les Hippocratiques mettent, on peut dire constamment, le subj. avec ἤν.

στόμα μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη [1] ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς [2] ἢ ἐς τὴν κοιλίην ἀφικέσθαι. Καὶ ἄριστον ἂν συμβαίνοι, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο· ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ· εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρήνειε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. Εἰ δὲ ἐν τῇ κεφαλῇ [3] μείνειε, πολλὸν ἂν πόνον παράσχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο· ἐπισημήνοι δ' [4] ἂν ἢ πλέον ἢ ἔλασσον. Ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι· κἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, [5] ἐσάσσειεν ἂν ἐς τὸ σῶμα αὐτίκα· ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη· χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, [6] σίνοιτο ἄν· ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρῃ, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. Ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα [7] ἕλκει, τό τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον, καὶ ἅμα εἴρηταί μοι ὅκως τε καὶ διότι πλεῖον γίνεται [8] τῷ ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν.

36. Νῦν [9] δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει τὸ χωρίον αὐτέην, τὸ ἐπὶ τοῦ ἥπατος. Ἔχει δὲ οὕτως· ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος ὅ τι ἐστὶ πικρὸν [10] ἢ ἄλλως χολῶδες καὶ κοῦφον, [11] καὶ πλείων ἡ χολὴ γίνηται ἐπὶ τῷ ἥπατι, αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι, καὶ τοῦτο ἐσείδομεν γινόμενον, καὶ ἐμφανὲς ἡμῖν ἐστιν ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγίνετο. Ἕλκει μὲν γὰρ τὸ σῶμα ἐς ἑωυτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην· ἕλκει δὲ καὶ τὸ χωρίον [12] τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωυτὸ ὅ τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ, καὶ ἢν ἐξαπίνης πολλὴ γένηται [13] ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς νηδύος [14] πλέον γίνεται· τούτου γὰρ

[1] Αὐτό ἐστι μένειν K. – ἐλθεῖν (E, al. manu κατ) Hv. — [2] ἢ EHP'Q', Lind. – καὶ pro ἢ vulg. – συμβαίνῃ FGHIJK, Ald., Frob., Foes, Lind., Mack. – συμβαίνοι E. – συμβαίῃ de Kühn est sans autorité. – κόπρη (sic) K. – [καὶ] εἰ μὲν Lind. – καὶ ὑγρὸν om. v. – ὑγρὸν om., restit. al. manu H. — [3] μείνοιε GIJ. – τοῖσι J. — [4] Post ἂν addunt τις EP'Q'v. – δ' ἐς EH. — [5] ἐσάσειεν (bis) vulg. – ἢν ἐς H. – ἐς sine ἂν vulg. – ἂν sine ἐς Lind., Mack. – ἢν dans certains de nos mss. se trouve plus d'une fois pour ἄν. — [6] σινοίατο vulg. – σίνοιτο Mack ex Æm. Porto. – κύστη G. – διαφέρῃ EGHIJK, Ald., Frob. – διαφέρει vulg. – διοίσοι EH. – κακίον Ald. – αὐτοῦ EH. — [7] ἕλκει EHJK. – ἕλκῃ vulg. – τό τε δὲ FGIJ. – ἔρχηται Lind. – πλείων K. — [8] τῶ E. – τῷ om. vulg. — [9] δ' EH. –

tête soit dans le corps, soit dans le ventre. Le mieux serait dans le ventre; car il sortirait avec les excréments. S'il était abondant et humide, il humecterait les excréments; s'il était en petite quantité, il n'exercerait pas cette action. Mais, s'il restait dans la tête, il y causerait beaucoup de souffrances, étant dans les veines; s'il était en petite quantité, il n'exercerait pas cette action, pourtant il donnerait plus ou moins signe de sa présence. S'il va dans le corps, là il se mêle au reste de l'humeur; s'il est abondant, il se fera sentir aussitôt; s'il est en petite quantité, il ne se fera pas sentir, vu la grosseur du corps, à moins qu'il n'y eût dès auparavant un autre principe de maladie; mais, au bout de quelque temps, si du nouveau phlegme arrive, il causera quelque lésion. Dans le cas où le corps le transmet à la vessie et au ventre, et que ces parties l'expulsent, il n'en résulte aucun mal. Ainsi, ces détails montrent comment la tête puise le phlegme dans le ventre, le semblable allant au semblable; et en même temps j'ai dit comment et pourquoi il s'augmente dans l'homme par les aliments et les boissons.

36. (*Origine de la bile dans le corps; causes de l'augmentation de cette humeur. La bile a son siége dans la vésicule hépatique.*) Maintenant, je vais parler de la bile, comment et pourquoi elle s'augmente dans le corps, et comment l'attire le réservoir qui est au foie. Voici ce qu'il en est: Quand on a mangé ou bu quelque chose d'amer, ou, en général, quelque chose de bilieux et de léger, et que la bile devient plus abondante au foie, aussitôt on soufre dans le foie, que les enfants nomment cœur (*cardia*). Nous sommes témoins de ce fait, et il nous est manifeste que cela provient de l'aliment ou de la boisson. En effet, d'une part, le corps attire à soi, hors des aliments, toute l'humeur susdite; d'autre part, le réservoir qui est au foie at-

ὅπως EH. – ἕλκει EHJK. – ἕλκῃ vulg. — [10] ἢ E. – καὶ pro ἢ vulg. — [11] πλείων (πλεῖον H) καὶ ἡ χ. γίνεται ἐπὶ (ἐν EP'Q', Mack) τῷ ἥ., καὶ αὐτίκα vulg. – Je pense qu'il faut lire καὶ πλείων, γίνηται, et supprimer le καὶ devant αὐτίκα. – καρδιαλγίην legendum censet Askew ap. Mack. – ἐσείδομεν EGHIJK, Ald. – εἰσείδ. vulg. – ἐμφανέες GJ. – ἐς EH, Lind. – εἰς vulg. — [12] τῶ J. — [13] ἡ om., restit. al. manu H. – νηδῦος E. — [14] πλέων Mack.

